Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: daw-ad

Ἀριστοφάνης ὁ Ἀθηναῖος · Aristophanes of Athens

# Lysistrata

## *Λυσιστράτη*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀλλ’ εἴ τις εἰς Βακχεῖον αὐτὰς ἐκάλεσεν, ἢ ’ς Πανὸς ἢ ’πὶ Κωλιάδ’ εἰς Γενετυλλίδος, οὐδ’ ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων. Νῦν δ’ οὐδεμία πάρεστιν ἐνταυθοῖ γυνή·
πλὴν ἥ γ’ ἐμὴ κωμῆτις ἥδ’ ἐξέρχεται. Χαῖρ’, ὦ Κλεονίκη.

**ΚΛΕΟΝΙΚΗ**

Καὶ σύ γ’, ὦ Λυσιστράτη. Τί συντετάραξαι; Μὴ σκυθρώπαζ’, ὦ τέκνον· οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀλλ’, ὦ Κλεονίκη, κάομαι τὴν καρδίαν,
καὶ πόλλ’ ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι, ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσιν νενομίσμεθα εἶναι πανοῦργοι—

**ΚΛΕΟΝΙΚΗ**

Καὶ γάρ ἐσμεν νὴ Δία.

**ΛΥΣΙΣΤΡΑΤΗ**

εἰρημένον δ’ αὐταῖς ἀπαντᾶν ἐνθάδε βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
εὕδουσι κοὐχ ἥκουσιν.

**ΚΛΕΟΝΙΚΗ**

Ἀλλ’, ὦ φιλτάτη, ἥξουσι· χαλεπή τοι γυναικῶν ἔξοδος. Ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ’ ἐκύπτασεν, ἡ δ’ οἰκέτην ἤγειρεν, ἡ δὲ παιδίον
κατέκλινεν, ἡ δ’ ἔλουσεν, ἡ δ’ ἐψώμισεν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀλλ’ ἕτερα τἄρ’ ἦν τῶνδε προὐργιαίτερα αὐταῖς.

**ΚΛΕΟΝΙΚΗ**

21 Τί δ’ ἐστίν, ὦ φίλη Λυσιστράτη, ἐφ’ ὅ τι ποθ’ ἡμᾶς τὰς γυναῖκας ξυγκαλεῖς; Τί τὸ πρᾶγμα; Πηλίκον τι;

**ΛΥΣΙΣΤΡΑΤΗ**

23 Μέγα.

**ΚΛΕΟΝΙΚΗ**

23 Μῶν καὶ παχύ;

**ΛΥΣΙΣΤΡΑΤΗ**

23 Νὴ Δία παχὺ πάνυ.

**ΚΛΕΟΝΙΚΗ**

24 Κᾆτα πῶς οὐχ ἥκομεν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

25 Οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν. Ἀλλ’ ἔστιν ὑπ’ ἐμοῦ πρᾶγμ’ ἀνεζητημένον πολλαῖσί τ’ ἀγρυπνίαισιν ἐρριπτασμένον.

**ΚΛΕΟΝΙΚΗ**

25 Ἦ πού τι λεπτόν ἐστι τοὐρριπτασμένον;

**ΛΥΣΙΣΤΡΑΤΗ**

25 Οὕτω γε λεπτὸν ὥσθ’ ὅλης τῆς Ἑλλάδος
30 ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.

**ΚΛΕΟΝΙΚΗ**

30 Ἐν ταῖς γυναιξίν; Ἐπ’ ὀλίγου τἄρ’ εἴχετο.

**ΛΥΣΙΣΤΡΑΤΗ**

30 Ὡς ἔστ’ ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα, ἢ μηκέτ’ εἶναι μήτε Πελοποννησίους—

**ΚΛΕΟΝΙΚΗ**

30 Βέλτιστα τοίνυν μηκέτ’ εἶναι νὴ Δία.

**ΛΥΣΙΣΤΡΑΤΗ**

35 Βοιωτίους τε πάντας ἐξολωλέναι.

**ΚΛΕΟΝΙΚΗ**

35 Μὴ δῆτα πάντας γ’, ἀλλ’ ἄφελε τὰς ἐγχέλεις.

**ΛΥΣΙΣΤΡΑΤΗ**

35 Περὶ τῶν Ἀθηνῶν δ’ οὐκ ἐπιγλωττήσομαι τοιοῦτον οὐδέν, ἀλλ’ ὑπονόησον σύ μοι. Ἢν δὲ ξυνέλθως’ αἱ γυναῖκες ἐνθάδε,
40 αἵ τ’ ἐκ Βοιωτῶν αἵ τε Πελοποννησίων
40 ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.

**ΚΛΕΟΝΙΚΗ**

40

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τί δ’ ἂν γυναῖκες φρόνιμον ἐργασαίατο ἢ λαμπρόν, αἳ καθήμεθ’ ἐξηνθισμέναι, κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι

45 καὶ Κιμβερίκ’ ὀρθοστάδια καὶ περιβαρίδας;

**ΛΥΣΙΣΤΡΑΤΗ**

45 Ταῦτ’ αὐτὰ γάρ τοι κἄσθ’ ἃ σώσειν προσδοκῶ, τὰ κροκωτίδια καὶ τὰ μύρα χαἰ περιβαρίδες χἤγχουσα καὶ τὰ διαφανῆ χιτώνια.

**ΚΛΕΟΝΙΚΗ**

45 Τίνα δὴ τρόπον ποθ’;

**ΛΥΣΙΣΤΡΑΤΗ**

49 Ὥστε τῶν νῦν μηδένας

49 ἀνδρῶν ἐπ’ ἀλλήλοισιν αἴρεσθαι δόρυ—

**ΚΛΕΟΝΙΚΗ**

49 Κροκωτὸν ἄρα νὴ τὼ θεὼ ’γὼ βάψομαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

49 μηδ’ ἀσπίδα λαβεῖν—

**ΚΛΕΟΝΙΚΗ**

52 Κιμβερικὸν ἐνδύσομαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

52 μηδὲ ξιφίδιον.

**ΚΛΕΟΝΙΚΗ**

53 Κτήσομαι περιβαρίδας.

**ΛΥΣΙΣΤΡΑΤΗ**

53 Ἆρ’ οὐ παρεῖναι τὰς γυναῖκας δῆτ’ ἐχρῆν;

**ΚΛΕΟΝΙΚΗ**

55 Οὐ γὰρ μὰ Δί’ ἀλλὰ πετομένας ἥκειν πάλαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

55 Ἀλλ’, ὦ μέλ’, ὄψει τοι σφόδρ’ αὐτὰς Ἀττικάς, ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον. Ἀλλ’ οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα, οὐδ’ ἐκ Σαλαμῖνος.

**ΚΛΕΟΝΙΚΗ**

59 Ἀλλ’ ἐκεῖναί γ’ οἶδ’ ὅτι

60 ἐπὶ τῶν κελήτων διαβεβήκας’ ὄρθριαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

60 Οὐδ’ ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ

60 πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων γυναῖκας, οὐχ ἥκουσιν.

**ΚΛΕΟΝΙΚΗ**

63 Ἡ γοῦν Θεογένους ὡς δεῦρ’ ἰοῦσα τἀκάτειον ᾔρετο.

65 Ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες.

**ΛΥΣΙΣΤΡΑΤΗ**

65 Αἵδ’ αὖθ’ ἕτεραι χωροῦσί τινες.

**ΚΛΕΟΝΙΚΗ**

66 Ἰοὺ ἰού, πόθεν εἰσίν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

67 Ἀναγυρουντόθεν.

**ΚΛΕΟΝΙΚΗ**

67 Νὴ τὸν Δία· ὁ γοῦν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.

**ΜΥΡΡΙΝΗ**

69 Μῶν ὕστεραι πάρεσμεν, ὦ Λυσιστράτη;

70 Τί φῄς; Τί σιγᾷς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

70 Οὔ ς’ ἐπαινῶ, Μυρρίνη, ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.

**ΜΥΡΡΙΝΗ**

70 Μόλις γὰρ ηὗρον ἐν σκότῳ τὸ ζώνιον. Ἀλλ’ εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.

**ΚΛΕΟΝΙΚΗ**

70 Μὰ Δί’ ἀλλ’ ἐπαναμείνωμεν ὀλίγου γ’ εἵνεκα

75 τάς τ’ ἐκ Βοιωτῶν τάς τε Πελοποννησίων γυναῖκας ἐλθεῖν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

76 Πολὺ σὺ κάλλιον λέγεις. Ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται. Ὦ φιλτάτη Λάκαινα, χαῖρε, Λαμπιτοῖ. Οἷον τὸ κάλλος, γλυκυτάτη, σου φαίνεται.

80 Ὡς δ’ εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου. Κἂν ταῦρον ἄγχοις.

**ΛΑΜΠΙΤΩ**

81 Μάλα γ’, οἰῶ, ναὶ τὼ σιώ· γυμνάδδομαι γὰρ καὶ ποτὶ πυγὰν ἅλλομαι.

**ΚΛΕΟΝΙΚΗ**

81 Ὡς δὴ καλὸν τὸ χρῆμα τῶν τιτθῶν ἔχεις.

**ΛΑΜΠΙΤΩ**

81 Ἇπερ ἱαρεῖόν τοί μ’ ὑποψαλάσσετε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

85 Ἡδὶ δὲ ποδαπὴ ’σθ’ ἡ νεᾶνις ἁτέρα;

**ΛΑΜΠΙΤΩ**

85 Πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία ἵκει ποθ’ ὑμέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΛΥΣΙΣΤΡΑΤΗ**

87 Νὴ Δί’ ὡς Βοιωτία καλόν γ’ ἔχουσα τὸ πεδίον.

**ΚΛΕΟΝΙΚΗ**

88 Καὶ νὴ Δία κομψότατα τὴν βληχώ γε παρατετιλμένη.

**ΛΥΣΙΣΤΡΑΤΗ**

90 Τίς δ’ ἁτέρα παῖς;

**ΛΑΜΠΙΤΩ**

90 Χαΐα ναὶ τὼ σιώ, Κορινθία δ’ αὖ.

**ΚΛΕΟΝΙΚΗ**

91 Χαΐα νὴ τὸν Δία δήλη ’στὶν οὖσα ταυταγὶ τἀντευθενί.

**ΛΑΜΠΙΤΩ**

91 Τίς δ’ αὖ συναλίαξε τόνδε τὸν στόλον τὸν τᾶν γυναικῶν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

94 Ἥδ’ ἐγώ.

**ΛΑΜΠΙΤΩ**

94 Μύσιδδέ τοι

95 ὅ τι λῇς ποθ’ ἁμέ.

**ΚΛΕΟΝΙΚΗ**

95 Νὴ Δί’, ὦ φίλη γύναι, λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ’ ἐστί σοι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

95 Λέγοιμ’ ἂν ἤδη. Πρὶν λέγειν δ’, ὑμᾶς τοδὶ ἐπερήσομαί, τι μικρόν.

**ΚΛΕΟΝΙΚΗ**

98 Ὅ τι βούλει γε σύ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

98 Τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων

98 ἐπὶ στρατιᾶς ἀπόντας; Εὖ γὰρ οἶδ’ ὅτι πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.

**ΚΛΕΟΝΙΚΗ**

98 Ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας, ὦ τάλαν, ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.

**ΜΥΡΡΙΝΗ**

98 Ὁ δ’ ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.

**ΛΑΜΠΙΤΩ**

105 Ὁ δ’ ἐμός γα, καΐ κ’ ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκά, πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.

**ΛΥΣΙΣΤΡΑΤΗ**

105

Ἀλλ’ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ. Ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι, οὐκ εἶδον οὐδ’ ὄλισβον ὀκτωδάκτυλον,

ὃς ἦν ἂν ἡμῖν σκυτίνη ’πικουρία. Ἐθέλοιτ’ ἂν οὖν, εἰ μηχανὴν εὕροιμ’ ἐγώ, μετ’ ἐμοῦ καταλῦσαι τὸν πόλεμον;

**ΚΛΕΟΝΙΚΗ**

Νὴ τὼ θεὼ ἔγωγέ τἄν, κἂν εἴ με χρείη τοὔγκυκλον τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.

**ΜΥΡΡΙΝΗ**

Ἐγὼ δέ γ’ ἄν, κἂν ὡσπερεὶ ψῆτταν δοκῶ, δοῦναι ἂν ἐμαυτῆς παρατεμοῦσα θἤμισυ.

**ΛΑΜΠΙΤΩ**

Ἐγὼν δὲ καί κα ποττὸ Ταΰγετον ἄνω ἔλσοιμ’ ὅπα μέλλοιμί γ’ εἰράναν ἰδῆν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Λέγοιμ’ ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.

Ἡμῖν γάρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,

ἀφεκτέ’ ἐστὶ—

**ΚΛΕΟΝΙΚΗ**

Τοῦ; φράσον.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ποήσετ’ οὖν;

**ΚΛΕΟΝΙΚΗ**

Ποήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀφεκτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.

Τί μοι μεταστρέφεσθε; Ποῖ βαδίζετε; Αὗται, τί μοιμυᾶτε κἀνανεύετε; Τί χρὼς τέτραπται; Τί δάκρυον κατείβεται; Ποήσετ’ ἢ οὐ ποήσετ’; Ἢ τί μέλλετε;

**ΚΛΕΟΝΙΚΗ**

Οὐκ ἂν ποήσαιμ’, ἀλλ’ ὁ πόλεμος ἑρπέτω.

**ΜΥΡΡΙΝΗ**

Μὰ Δί’ οὐδ’ ἔγωγ’ ἄν, ἀλλ’ ὁ πόλεμος ἑρπέτω.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ταυτὶ σὺ λέγεις, ὦ ψῆττα; Καὶ μὴν ἄρτι γε ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.

**ΚΛΕΟΝΙΚΗ**

Ἄλλ’, ἄλλ’ ὅ τι βούλει. Κἄν με χρῇ, διὰ τοῦ πυρὸς ἐθέλω βαδίζειν. Τοῦτο μᾶλλον τοῦ πέους·

οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Τί δαὶ σύ;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΜΥΡΡΙΝΗ**

136 Κἀγὼ βούλομαι διὰ τοῦ πυρός.

**ΛΥΣΙΣΤΡΑΤΗ**

136 Ὢ παγκατάπυγον θἠμέτερον ἅπαν γένος. Οὐκ ἐτὸς ἀφ’ ἡμῶν εἰσιν αἱ τραγῳδίαι· οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.

140 Ἀλλ’, ὦ φίλη Λάκαινα, —σὺ γὰρ ἐὰν γένῃ μόνη μετ’ ἐμοῦ, τὸ πρᾶγμ’ ἀνασωσαίμεσθ’ ἔτ’ ἄν, —ξυμψήφισαί μοι.

**ΛΑΜΠΙΤΩ**

142 Χαλεπὰ μὲν ναὶ τὼ σιὼ γυναῖκας ὑπνῶν ἐστ’ ἄνευ ψωλᾶς μόνας.

142 Ὅμως γα μάν· δεῖ τᾶς γὰρ εἰράνας μάλ’ αὖ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

145 Ὢ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.

**ΚΛΕΟΝΙΚΗ**

145 Εἰ δ’ ὡς μάλιστ’ ἀπεχοίμεθ’ οὗ σὺ δὴ λέγεις, — ὃ μὴ γένοιτο, —μᾶλλον ἂν διὰ τουτογὶ γένοιτ’ ἂν εἰρήνη;

**ΛΥΣΙΣΤΡΑΤΗ**

148 Πολύ γε νὴ τὼ θεώ. Εἰ γὰρ καθήμεθ’ ἔνδον ἐντετριμμέναι,

148 κἀν τοῖς χιτωνίοισι τοῖς Ἀμοργίοις γυμναὶ παρίοιμεν δέλτα παρατετιλμέναι, στύοιντο δ’ ἄνδρες κἀπιθυμοῖεν σπλεκοῦν, ἡμεῖς δὲ μὴ προσιείμεθ’, ἀλλ’ ἀπεχοίμεθα, σπονδὰς ποήσαιντ’ ἂν ταχέως, εὖ οἶδ’ ὅτι.

**ΛΑΜΠΙΤΩ**

155 Ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα γυμνᾶς παραϊδὼν ἐξέβαλ’, οἰῶ, τὸ ξίφος.

**ΚΛΕΟΝΙΚΗ**

155 Τί δ’, ἢν ἀφιῶσ’ ἄνδρες ἡμᾶς, ὦ μέλε;

**ΛΥΣΙΣΤΡΑΤΗ**

155 Τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.

**ΚΛΕΟΝΙΚΗ**

155 Φλυαρία ταῦτ’ ἐστὶ τὰ μεμιμημένα.

160 Ἐὰν λαβόντες δ’ εἰς τὸ δωμάτιον βίᾳ ἕλκωσιν ἡμᾶς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

161 Ἀντέχου σὺ τῶν θυρῶν.

**ΚΛΕΟΝΙΚΗ**

161 Ἐὰν δὲ τύπτωσιν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

162

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παρέχειν χρὴ κακὰ κακῶς· οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν. Κἄλλως ὀδυνᾶν χρή· κἀμέλει ταχέως πάνυ
ἀπεροῦσιν. Οὐ γὰρ οὐδέποτ᾽ εὐφρανθήσεται
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.

**ΚΛΕΟΝΙΚΗ**

Εἴ τοι δοκεῖ σφῷν ταῦτα, χἡμῖν ξυνδοκεῖ.

**ΛΑΜΠΙΤΩ**

Καὶ τὼς μὲν ἁμὼς ἄνδρας ἁμὲς πείσομες παντᾶ δικαίως ἄδολον εἰράναν ἄγην·
τὸν τῶν Ἀσαναίων γα μὰν ῥυἅχετον πᾶ κά τις ἀμπείσειεν αὖ μὴ πλαδδιῆν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἡμεῖς ἀμέλει σοι τά γε παρ᾽ ἡμῖν πείσομεν.

**ΛΑΜΠΙΤΩ**

Οὔχ, ἇς πόδας γ᾽ ἔχωντι ταὶ τριήρεες καὶ τὠργύριον τὤβυσσον ᾖ πὰρ τᾷ σιῷ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀλλ᾽ ἔστι καὶ τοῦτ᾽ εὖ παρεσκευασμένον· καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον. Ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν, ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα, θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.

**ΛΑΜΠΙΤΩ**

Πάντ᾽ εὖ κ᾽ ἔχοι· καὶ τᾶδε γὰρ λέγεις καλῶς.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Τί δῆτα ταῦτ᾽ οὐχ ὡς τάχιστα, Λαμπιτοῖ, ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ;

**ΛΑΜΠΙΤΩ**

Πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιόμεθα.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Καλῶς λέγεις. Ποῦ ᾽σθ᾽ ἡ Σκύθαινα; Ποῖ βλέπεις;
Θὲς εἰς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα, καί μοι δότω τὰ τόμιά τις.

**ΚΛΕΟΝΙΚΗ**

Λυσιστράτη, τίν᾽ ὅρκον ὁρκώσεις ποθ᾽ ἡμᾶς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ὅντινα; εἰς ἀσπίδ᾽, ὥσπερ, φασίν, Αἰσχύλος ποτέ, μηλοσφαγούσας.

**ΚΛΕΟΝΙΚΗ**

Μὴ σύ γ᾽, ὦ Λυσιστράτη,
εἰς ἀσπίδ᾽ ὀμόσῃς μηδὲν εἰρήνης πέρι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Τίς ἂν οὖν γένοιτ᾽ ἂν ὅρκος; Ἢ λευκόν ποθεν ἵππον λαβοῦσαι τόμιον ἐντεμώμεθα;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΛΕΟΝΙΚΗ**

Ποῖ λευκὸν ἵππον;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἀλλὰ πῶς ὀμούμεθα ἡμεῖς;

**ΚΛΕΟΝΙΚΗ**

Ἐγώ σοι νὴ Δί᾽, ἢν βούλῃ, φράσω.

Θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν, μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον ὀμόσωμεν εἰς τὴν κύλικα μὴ ᾽πιχεῖν ὕδωρ.

**ΛΑΜΠΙΤΩ**

Φεῦ δᾶ, τὸν ὅρκον ἄφατον ὡς ἐπαινίω.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.

**ΚΛΕΟΝΙΚΗ**

Ὦ φίλταται γυναῖκες, ὁ κεραμὼν ὅσος. Ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Καταθεῖσα ταύτην προσλαβοῦ μοι τοῦ κάπρου. Δέσποινα Πειθοῖ καὶ κύλιξ φιλοτησία, τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.

**ΚΛΕΟΝΙΚΗ**

Εὔχρων γε θαἶμα κἀποπυτίζει καλῶς.

**ΛΑΜΠΙΤΩ**

Καὶ μὰν ποτόδδει γ᾽ ἁδὺ ναὶ τὸν Κάστορα.

**ΚΛΕΟΝΙΚΗ**

Ἐᾶτε πρώτην μ᾽, ὦ γυναῖκες, ὀμνύναι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Μὰ τὴν Ἀφροδίτην οὔκ, ἐάν γε μὴ λάχῃς. Λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοῖ·

λεγέτω δ᾽ ὑπὲρ ὑμῶν μί᾽ ἅπερ ἂν κἀγὼ λέγω· ὑμεῖς δ᾽ ἐπομεῖσθε ταῦτα κἀμπεδώσετε. Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ᾽ ἀνήρ—

**ΚΛΕΟΝΙΚΗ**

Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ᾽ ἀνήρ—

**ΛΥΣΙΣΤΡΑΤΗ**

ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. Λέγε.

**ΚΛΕΟΝΙΚΗ**

ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. Παπαῖ, ὑπολύεταί μου τὰ γόνατ᾽, ὦ Λυσιστράτη.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Οἴκοι δ’ ἀταυρώτη διάξω τὸν βίον—

**ΚΛΕΟΝΙΚΗ**

Οἴκοι δ’ ἀταυρώτη διάξω τὸν βίον—

**ΛΥΣΙΣΤΡΑΤΗ**

κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη—

**ΚΛΕΟΝΙΚΗ**

κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη—

**ΛΥΣΙΣΤΡΑΤΗ**

ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου· —

**ΚΛΕΟΝΙΚΗ**

ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου· —

**ΛΥΣΙΣΤΡΑΤΗ**

κοὐδέποθ’ ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.

**ΚΛΕΟΝΙΚΗ**

κοὐδέποθ’ ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἐὰν δέ μ’ ἄκουσαν βιάζηται βίᾳ—

**ΚΛΕΟΝΙΚΗ**

ἐὰν δέ μ’ ἄκουσαν βιάζηται βίᾳ—

**ΛΥΣΙΣΤΡΑΤΗ**

κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

**ΚΛΕΟΝΙΚΗ**

κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.

**ΚΛΕΟΝΙΚΗ**

Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Οὐ στήσομαι λέαιν’ ἐπὶ τυροκνήστιδος.

**ΚΛΕΟΝΙΚΗ**

Οὐ στήσομαι λέαιν’ ἐπὶ τυροκνήστιδος.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ταῦτ’ ἐμπεδοῦσα μὲν πίοιμ’ ἐντευθενί—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΛΕΟΝΙΚΗ**

230 Ταῦτ’ ἐμπεδοῦσα μὲν πίοιμ’ ἐντευθενί—

**ΛΥΣΙΣΤΡΑΤΗ**

235 εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ’ ἡ κύλιξ.

**ΚΛΕΟΝΙΚΗ**

235 εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ’ ἡ κύλιξ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

235 Συνεπόμνυθ’ ὑμεῖς ταῦτα πᾶσαι;

**ΠΑΣΑΙ**

237 Νὴ Δία.

**ΛΥΣΙΣΤΡΑΤΗ**

237 Φέρ’ ἐγὼ καθαγίσω τήνδε.

**ΚΛΕΟΝΙΚΗ**

238 Τὸ μέρος γ’, ὦ φίλη, ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.

**ΛΑΜΠΙΤΩ**

240 Τίς ὡλολυγά;

**ΛΥΣΙΣΤΡΑΤΗ**

240 Τοῦτ’ ἐκεῖν’ οὑγὼ ’λεγον· αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ ἤδη κατειλήφασιν. Ἀλλ’, ὦ Λαμπιτοῖ, σὺ μὲν βάδιζε καὶ τὰ παρ’ ὑμῖν εὖ τίθει, τασδὶ δ’ ὁμήρους κατάλιφ’ ἡμῖν ἐνθάδε.

245 Ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.

**ΚΛΕΟΝΙΚΗ**

245 Οὔκουν ἐφ’ ἡμᾶς ξυμβοηθήσειν οἴει τοὺς ἄνδρας εὐθύς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

248 Ὀλίγον αὐτῶν μοι μέλει. Οὐ γὰρ τοσαύτας οὔτ’ ἀπειλὰς οὔτε πῦρ

248 ἥξους’ ἔχοντες ὥστ’ ἀνοῖξαι τὰς πύλας ταύτας, ἐὰν μὴ ’φ’ οἷσιν ἡμεῖς εἴπομεν.

**ΚΛΕΟΝΙΚΗ**

248 Μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ’· ἄλλως γὰρ ἂν

248 ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ’ ἄν.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

254 Χώρει, Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς

255 κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.

256-257 Ἦ πόλλ’ ἄελπτ’ ἔνεστιν ἐν τῷ μακρῷ βίῳ, φεῦ,

258-259 ἐπεὶ τίς ἄν ποτ’ ἤλπις’, ὦ Στρυμόδωρ’, ἀκοῦσαι

260 γυναῖκας, ἃς ἐβόσκομεν κατ’ οἶκον ἐμφανὲς κακόν, κατὰ μὲν ἅγιον ἔχειν βρέτας κατά τ’ ἀκρόπολιν ἐμὴν λαβεῖν, μοχλοῖς δὲ καὶ κλῄθροισιν

τὰ προπύλαια πακτοῦν;

Ἀλλ’ ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε, ὅπως ἂν αὐταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί, ὅσαι τὸ πρᾶγμα τοῦτ’ ἐνεστήσαντο καὶ μετῆλθον, μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες

πάσας, ἀπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.

Οὐ γὰρ μὰ τὴν Δήμητρ’ ἐμοῦ ζῶντος ἐγχανοῦνται·

ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐτὴν κατέσχε πρῶτος,

ἀπῆλθεν ἀψάλακτος, ἀλλ’ ὅμως Λακωνικὸν πνέων ᾤχετο θὤπλα παραδοὺς ἐμοί, σμικρὸν ἔχων πάνυ τριβώνιον, πινῶν ῥύπ’, ἀπαράτιλτος,

ἓξ ἐτῶν ἄλουτος.

Οὕτως ἐπολιόρκησ’ ἐγὼ τὸν ἄνδρ’ ἐκεῖνον ὠμῶς ἐφ’ ἑπτακαίδεκ’ ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων. Τασδὶ δὲ τὰς Εὐριπίδῃ θεοῖς τε πᾶσιν ἐχθρὰς ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου;

Μή νυν ἔτ’ ἐν τῇ τετραπόλει τοὐμὸν τροπαῖον εἴη.

Ἀλλ’ αὐτὸ γάρ μοι τῆς ὁδοῦ λοιπόν ἐστι χωρίον τὸ πρὸς πόλιν τὸ σιμόν, οἷ σπουδὴν ἔχω. Χὤπως ποτ’ ἐξαμπρεύσομεν

τοῦτ’ ἄνευ κανθηλίου· ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον. Ἀλλ’ ὅμως βαδιστέον, καὶ τὸ πῦρ φυσητέον, μή μ’ ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ.

Φῦ φῦ.

Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.

Ὡς δεινόν, ὦναξ Ἡράκλεις, προσπεσόν μ’ ἐκ τῆς χύτρας ὥσπερ κύων λυττῶσα τὠφθαλμὼ δάκνει. Κἄστιν γε Λήμνιον τὸ πῦρ

τοῦτο πάσῃ μηχανῇ· οὐ γὰρ ἄν ποθ’ ὧδ’ ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ. Σπεῦδε πρόσθεν εἰς πόλιν καὶ βοήθει τῇ θεῷ. Ἢ πότ’ αὐτῇ μᾶλλον ἢ νῦν, ὦ Λάχης, ἀρήξομεν;

Φῦ φῦ.

Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.

Τουτὶ τὸ πῦρ ἐγρήγορεν θεῶν ἕκατι καὶ ζῇ. Οὔκουν ἄν, εἰ τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ, τῆς ἀμπέλου δ’ εἰς τὴν χύτραν τὸν φανὸν ἐγκαθέντες ἅψαντες εἶτ’ εἰς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν,

κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες, ἐμπιμπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν. Θώμεσθα δὴ τὸ φορτίον. Φεῦ τοῦ καπνοῦ, βαβαιάξ. Τίς ξυλλάβοιτ’ ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν; Ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.

Σὸν δ’ ἔργον ἐστίν, ὦ χύτρα, τὸν ἄνθρακ’ ἐξεγείρειν, τὴν λαμπάδ’ ἡμμένην ὅπως παρὼν ἐμοὶ προσοίσει. Δέσποινα Νίκη, ξυγγενοῦ τῶν τ’ ἐν πόλει γυναικῶν τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τροπαῖον ἡμᾶς.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνόν, ὦ γυναῖκες,

ὥσπερ πυρὸς καομένου· σπευστέον ἐστὶ θᾶττον.

Πέτου πέτου, Νικοδίκη, πρὶν ἐμπεπρῆσθαι Καλύκην τε καὶ Κρίτυλλαν περιφυσήτω

ὑπό τ’ ἀνέμων ἀργαλέων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπό τε γερόντων ὀλέθρων. Ἀλλὰ φοβοῦμαι τόδε· μῶν ὑστερόπους βοηθῶ; Νυνδὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία

μόλις ἀπὸ κρήνης ὑπ’ ὄχλου καὶ θορύβου καὶ πατάγου χυτρείου,

δούλαισιν ὠστιζομένη στιγματίαις θ’, ἁρπαλέως ἀραμένη, ταῖσιν ἐμαῖς δημότισιν καομέναις φέρους’ ὕδωρ βοηθῶ.

Ἤκουσα γὰρ τυφογέροντας ἄνδρας ἔρρειν, στελέχη φέροντας ὥσπερ βαλανεύσοντας εἰς πόλιν ὡς τριτάλαντα βάρος, δεινότατ’ ἀπειλοῦντας ἐπῶν

ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν. Ἅς, ὦ θεά, μή ποτ’ ἐγὼ πιμπραμένας ἴδοιμι,

ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας Ἑλλάδα καὶ πολίτας·

ἐφ’ οἷσπερ, ὦ χρυσολόφα

πολιοῦχε, σὰς ἔσχον ἕδρας. Καί σε καλῶ ξύμμαχον, ὦ Τριτογένει’, ἤν τις ἐκείνας ὑποπιμπρῇσιν ἀνήρ, φέρειν ὕδωρ μεθ’ ἡμῶν.

Ἔασον, ὤ, τουτὶ τί ἦν; Ἄνδρες πονωπονηροί· οὐ γάρ ποτ’ ἂν χρηστοί γ’ ἔδρων οὐδ’ εὐσεβεῖς τάδ’ ἄνδρες.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Τουτὶ τὸ πρᾶγμ’ ἡμῖν ἰδεῖν ἀπροσδόκητον ἥκει· ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Τί βδύλλεθ’ ἡμᾶς; Οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι;

Καὶ μὴν μέρος γ’ ἡμῶν ὁρᾶτ’ οὔπω τὸ μυριοστόν.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Ὦ Φαιδρία, ταύτας λαλεῖν ἐάσομεν τοσαυτί; Οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ’ ἐχρῆν τιν’ αὐταῖς;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Θώμεσθα δὴ τὰς κάλπιδας χἠμεῖς χαμᾶζ’, ὅπως ἄν, ἢν προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ’ ἐμποδίζῃ.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Εἰ νὴ Δί’ ἤδη τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρὶς ἔκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Καὶ μὴν ἰδού· παταξάτω τις. Στᾶς’ ἐγὼ παρέξω, κοὐ μή ποτ’ ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Εἰ μὴ σιωπήσει, θενών σου ’κκοκκιῶ τὸ γῆρας.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Ἅψαι μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελθών.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Τί δ’, ἢν σποδῶ τοῖς κονδύλοις; Τί μ’ ἐργάσει τὸ δεινόν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ’ ἐξαμήσω.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Οὐκ ἔστ’ ἀνὴρ Εὐριπίδου σοφώτερος ποητής· οὐδὲν γὰρ ὧδε θρέμμ’ ἀναιδές ἐστιν ὡς γυναῖκες.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Αἰρώμεθ’ ἡμεῖς θοὔδατος τὴν κάλπιν, ὦ ῾Ροδίππη.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Τί δ’, ὦ θεοῖς ἐχθρά, σὺ δεῦρ’ ὕδωρ ἔχους’ ἀφίκου;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Τί δ’ αὖ σὺ πῦρ, ὦ τύμβ’, ἔχων; Ὡς σαυτὸν ἐμπυρεύσων;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Ἐγὼ μὲν ἵνα νήσας πυρὰν τὰς σὰς φίλας ὑφάψω.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Ἐγὼ δέ γ’, ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέσαιμι.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Τοὐμὸν σὺ πῦρ κατασβέσεις;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Τοὔργον τάχ’ αὐτὸ δείξει.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Οὐκ οἶδά ς’ εἰ τῇδ’ ὡς ἔχω τῇ λαμπάδι σταθεύσω.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρόν γ’ ἐγὼ παρέξω.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Ἐμοὶ σὺ λουτρόν, ὦ σαπρά;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Καὶ ταῦτα νυμφικόν γε.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Ἤκουσας αὐτῆς τοῦ θράσους;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Ἐλευθέρα γάρ εἰμι.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Σχήσω ς’ ἐγὼ τῆς νῦν βοῆς.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

380 Ἀλλ’ οὐκέθ’ ἡλιάζει.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

380 Ἔμπρησον αὐτῆς τὰς κόμας.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

381 Σὸν ἔργον, ὦχελῷε.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

381 Οἴμοι τάλας.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

382 Μῶν θερμὸν ἦν;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

382 Ποῖ θερμόν; Οὐ παύσει; Τί δρᾷς;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

382 Ἄρδω ς’, ὅπως ἀμβλαστάνῃς.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

385 Ἀλλ’ αὗός εἰμ’ ἤδη τρέμων.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

385 Οὐκοῦν, ἐπειδὴ πῦρ ἔχεις, σὺ χλιανεῖς σεαυτόν.

**ΠΡΟΒΟΥΛΟΣ**

387 Ἆρ’ ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ χὡ τυμπανισμὸς χοἰ πυκνοὶ Σαβάζιοι, ὅ τ’ Ἀδωνιασμὸς οὗτος ούπὶ τῶν τεγῶν,

390 οὗ ’γώ ποτ’ ὢν ἤκουον ἐν τἠκκλησίᾳ; Ἔλεγεν ὁ μὴ ὥρασι μὲν Δημόστρατος πλεῖν εἰς Σικελίαν, ἡ γυνὴ δ’ ὀρχουμένη «Αἰαῖ Ἄδωνιν» φησίν. Ὁ δὲ Δημόστρατος ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων,

395 ἡ δ’ ὑποπεπωκυῖ’ ἡ γυνὴ ’πὶ τοῦ τέγους «Κόπτεσθ’ Ἄδωνιν» φησίν. Ὁ δ’ ἐβιάζετο, ὁ θεοῖσιν ἐχθρὸς καὶ μιαρὸς Χολοζύγης. Τοιαῦτ’ ἀπ’ αὐτῶν ἐστιν ἀκολαστήματα.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

395 Τί δῆτ’ ἄν, εἰ πύθοιο καὶ τὴν τῶνδ’ ὕβριν;

395 Αἳ τἄλλα θ’ ὑβρίκασι κἀκ τῶν καλπίδων ἔλουσαν ἡμᾶς, ὥστε θαἰματίδια σείειν πάρεστιν ὥσπερ ἐνεουρηκότας.

**ΠΡΟΒΟΥΛΟΣ**

395 Νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε. Ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα

405 ταῖσιν γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν, τοιαῦτ’ ἀπ’ αὐτῶν βλαστάνει βουλεύματα. Οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί· «Ὦ χρυσοχόε, τὸν ὅρμον ὃν ἐπεσκεύασας, ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας

410

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος. Ἐμοὶ μὲν οὖν ἔστ’ εἰς Σαλαμῖνα πλευστέα· σὺ δ’ ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν ἐλθὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.» Ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει νεανίαν καὶ πέος ἔχοντ’ οὐ παιδικόν· «Ὦ σκυτοτόμε, μου τῆς γυναικὸς τοῦ ποδὸς τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν, ἅθ’ ἁπαλὸν ὄν· τοῦτ’ οὖν σὺ τῆς μεσημβρίας ἐλθὼν χάλασον, ὅπως ἂν εὐρυτέρως ἔχῃ.»

Τοιαῦτ’ ἀπήντηκ’ εἰς τοιαυτὶ πράγματα, ὅτ’ ὢν ἐγὼ πρόβουλος, ἐκπορίσας ὅπως

κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον, ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν. Ἀλλ’ οὐδὲν ἔργον ἑστάναι. Φέρε τοὺς μοχλούς,

ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω. Τί κέχηνας, ὦ δύστηνε; Ποῖ δ’ αὖ σὺ βλέπεις, οὐδὲν ποιῶν ἀλλ’ ἢ καπηλεῖον σκοπῶν; Οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας ἐντεῦθεν ἐκμοχλεύσετ’; Ἐνθενδὶ δ’ ἐγὼ

ξυνεκμοχλεύσω.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Μηδὲν ἐκμοχλεύετε· ἐξέρχομαι γὰρ αὐτομάτη. Τί δεῖ μοχλῶν; Οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον ἢ νοῦ καὶ φρενῶν.

**ΠΡΟΒΟΥΛΟΣ**

Ἄληθες, ὦ μιαρὰ σύ; Ποῦ ’σθ’ ὁ τοξότης; Ξυλλάμβαν’ αὐτὴν κὠπίσω τὼ χεῖρε δεῖ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Εἰ τἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι ἄκραν προσοίσει, δημόσιος ὢν κλαύσεται.

**ΠΡΟΒΟΥΛΟΣ**

Ἔδεισας, οὗτος; Οὐ ξυναρπάσει μέσην καὶ σὺ μετὰ τούτου χἀνύσαντε δήσετον;

**ΚΛΕΟΝΙΚΗ**

Εἰ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον

τὴν χεῖρ’ ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.

**ΠΡΟΒΟΥΛΟΣ**

Ἰδού γ’ ἐπιχεσεῖ. Ποῦ ’στιν ἕτερος τοξότης;

Ταύτην προτέραν ξύνδησον, ὁτιὴ καὶ λαλεῖ.

**ΜΥΡΡΙΝΗ**

Εἰ τἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ’ ἄκραν ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

**ΠΡΟΒΟΥΛΟΣ**

Τουτὶ τί ἦν; Ποῦ τοξότης; Ταύτης ἔχου. Παύσω τιν’ ὑμῶν τῆσδ’ ἐγὼ τῆς ἐξόδου.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Εἰ τἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ πρόσει, ἐγὼ ’κποκιῶ σου τὰς στενοκωκύτους τρίχας.

**ΠΡΟΒΟΥΛΟΣ**

Οἴμοι κακοδαίμων· ἐπιλέλοιφ’ ὁ τοξότης.

Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ’ ἔσθ’ ἡττητέα ἡμῖν· ὁμόσε χωρῶμεν αὐταῖς, ὦ Σκύθαι, ξυνταξάμενοι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

452 Νὴ τὼ θεὼ γνώσεσθ’ ἄρα ὅτι καὶ παρ’ ἡμῖν εἰσι τέτταρες λόχοι μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.

**ΠΡΟΒΟΥΛΟΣ**

455 Ἀποστρέφετε τὰς χεῖρας αὐτῶν, ὦ Σκύθαι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

455 Ὦ ξύμμαχοι γυναῖκες, ἐκθεῖτ’ ἔνδοθεν, ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες, ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες, οὐχ ἕλξετ’, οὐ παιήσετ’, οὐκ ἀράξετε,

460 οὐ λοιδορήσετ’, οὐκ ἀναισχυντήσετε; Παύσασθ’, ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.

**ΠΡΟΒΟΥΛΟΣ**

460 Οἴμ’ ὡς κακῶς πέπραγέ μου τὸ τοξικόν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

460 Ἀλλὰ τί γὰρ ᾤου; Πότερον ἐπὶ δούλας τινὰς ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει

465 χολὴν ἐνεῖναι;

**ΠΡΟΒΟΥΛΟΣ**

465 Νὴ τὸν Ἀπόλλω καὶ μάλα

465 πολλήν γ’, ἐάνπερ πλησίον κάπηλος ᾖ.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

465 Ὦ πόλλ’ ἀναλώσας ἔπη πρόβουλε τῆσδε τῆσ γῆς, τί τοῖσδε σαυτὸν εἰς λόγους τοῖς θηρίοις ξυνάπτεις; Οὐκ οἶσθα λουτρὸν οἷον αἴδ’ ἡμᾶς ἔλουσαν ἄρτι

470 ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ’ ἄνευ κονίας;

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

470 Ἀλλ’, ὦ μέλ’, οὐ χρὴ προσφέρειν τοῖς πλησίοισιν εἰκῇ τὴν χεῖρ’· ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη. Ἐπεὶ ’θέλω ’γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι, λυποῦσα μηδέν’ ἐνθαδί, κινοῦσα μηδὲ κάρφος,

475 ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

476–477 Ὦ Ζεῦ, τί ποτε χρησόμεθα τοῖσδε κνωδάλοις;

478 Οὐ γὰρ ἔτ’ ἀνεκτὰ τάδε γ’, ἀλλὰ βασανιστέον τόδε σοι τὸ πάθος μετ’ ἐμοῦ,

480 ὅ τι βουλόμεναί ποτε τὴν Κραναὰν κατέλαβον, ἐφ’ ὅ τι τε μεγαλόπετρον, ἄβατον ἀκρόπολιν, ἱερὸν τέμενος.

483 Ἀλλ’ ἀνερώτα καὶ μὴ πείθου καὶ πρόσφερε πάντας ἐλέγχους·

485 ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτον πρᾶγμα μεθέντας.

**ΠΡΟΒΟΥΛΟΣ**

485

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ μὴν αὐτῶν τοῦτ’ ἐπιθυμῶ νὴ τὸν Δία πρῶτα πυθέσθαι, ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν ἀπεκλείσατε τοῖσι μοχλοῖσιν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

485 Ἵνα τἀργύριον σῶν παρέχοιμεν καὶ μὴ πολεμοῖτε δι’ αὐτό.

**ΠΡΟΒΟΥΛΟΣ**

485 Διὰ τἀργύριον πολεμοῦμεν γάρ;

**ΛΥΣΙΣΤΡΑΤΗ**

489 Καὶ τἄλλα γε πάντ’ ἐκυκήθη.

490 Ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χοἰ ταῖς ἀρχαῖς ἐπέχοντες ἀεί τινα κορκορυγὴν ἐκύκων. Οἱ δ’ οὖν τοῦδ’ οὕνεκα δρώντων ὅ τι βούλονται· τὸ γὰρ ἀργύριον τοῦτ’ οὐκέτι μὴ καθέλωσιν.

**ΠΡΟΒΟΥΛΟΣ**

490 Ἀλλὰ τί δράσεις;

**ΛΥΣΙΣΤΡΑΤΗ**

493 Τοῦτό μ’ ἐρωτᾷς; Ἡμεῖς ταμιεύσομεν αὐτό.

**ΠΡΟΒΟΥΛΟΣ**

493 Ὑμεῖς ταμιεύσετε τἀργύριον;

**ΛΥΣΙΣΤΡΑΤΗ**

494 Τί δὲ δεινὸν τοῦτο νομίζεις;

495 Οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν;

**ΠΡΟΒΟΥΛΟΣ**

495 Ἀλλ’ οὐ ταὐτόν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

496 Πῶς οὐ ταὐτόν;

**ΠΡΟΒΟΥΛΟΣ**

496 Πολεμητέον ἔστ’ ἀπὸ τούτου

**ΛΥΣΙΣΤΡΑΤΗ**

496 Ἀλλ’ οὐδὲν δεῖ πρῶτον πολεμεῖν.

**ΠΡΟΒΟΥΛΟΣ**

497 Πῶς γὰρ σωθησόμεθ’ ἄλλως;

**ΛΥΣΙΣΤΡΑΤΗ**

497 Ἡμεῖς ὑμᾶς σώσομεν.

**ΠΡΟΒΟΥΛΟΣ**

498 Ὑμεῖς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

498 Ἡμεῖς μέντοι.

**ΠΡΟΒΟΥΛΟΣ**

498 Σχέτλιόν γε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

498 Ὡς σωθήσει, κἂν μὴ βούλῃ.

**ΠΡΟΒΟΥΛΟΣ**

499 Δεινόν γε λέγεις.

**ΛΥΣΙΣΤΡΑΤΗ**

499 Ἀγανακτεῖς,
499 ἀλλὰ ποητέα ταῦτ’ ἐστὶν ὅμως.

**ΠΡΟΒΟΥΛΟΣ**

499 Νὴ τὴν Δήμητρ’ ἄδικόν γε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

499 Σωστέον, ὦ τᾶν.

**ΠΡΟΒΟΥΛΟΣ**

501 Κεἰ μὴ δέομαι;

**ΛΥΣΙΣΤΡΑΤΗ**

501 Τοῦδ’ οὕνεκα καὶ πολὺ μᾶλλον.

**ΠΡΟΒΟΥΛΟΣ**

501 Ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ’ εἰρήνης ἐμέλησεν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

501 Ἡμεῖς φράσομεν.

**ΠΡΟΒΟΥΛΟΣ**

503 Λέγε δὴ ταχέως, ἵνα μὴ κλάῃς.

**ΛΥΣΙΣΤΡΑΤΗ**

503 Ἀκροῶ δή, καὶ τὰς χεῖρας πειρῶ κατέχειν.

**ΠΡΟΒΟΥΛΟΣ**

504 Ἀλλ’ οὐ δύναμαι· χαλεπὸν γὰρ
505 ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν.

**ΚΛΕΟΝΙΚΗ**

505 Κλαύσει τοίνυν πολὺ μᾶλλον.

**ΠΡΟΒΟΥΛΟΣ**

505 Τοῦτο μέν, ὦ γραῦ, σαυτῇ κρώξαις. Σὺ δέ μοι λέγε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΛΥΣΙΣΤΡΑΤΗ**

506 Ταῦτα ποήσω. Ἡμεῖς τὸν μὲν πρότερον πόλεμον καὶ χρόνον ἠνεσχόμεθ’ ὑμῶν ὑπὸ σωφροσύνης τῆς ἡμετέρας τῶν ἀνδρῶν ἅττ’ ἐποεῖτε· —οὐ γὰρ γρύζειν εἰᾶθ’ ἡμᾶς, —καίτοὐκ ἠρέσκετέ γ’ ἡμᾶς.

510 Ἀλλ’ ᾐσθανόμεσθα καλῶς ὑμῶν, καὶ πολλάκις ἔνδον ἂν οὖσαι ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμένους μέγα πρᾶγμα· εἶτ’ ἀλγοῦσαι τἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ’ ἂν γελάσασαι «Τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι ἐν τῷ δήμῳ τήμερον ὑμῖν;» — «Τί δὲ σοὶ τοῦτ’;» ἦ δ’ ὃς ἂν ἁνήρ·

515 «οὐ σιγήσει;» —κἀγὼ ’σίγων.

**ΚΛΕΟΝΙΚΗ**

515 Ἀλλ’ οὐκ ἂν ἐγώ ποτ’ ἐσίγων.

**ΠΡΟΒΟΥΛΟΣ**

515 Κἂν ᾤμωζές γ’, εἰ μὴ ’σίγας.

**ΛΥΣΙΣΤΡΑΤΗ**

516 Τοιγάρ τοὔγωγ’ ἂν ἐσίγων. Ἑτέρου δ’ ἕτερόν τι πονηρότερον βούλευμ’ ἐπεπύσμεθ’ ἂν ὑμῶν· εἶτ’ ἠρόμεθ’ ἄν· «Πῶς ταῦτ’, ὦνερ, διαπράττεσθ’ ὧδ’ ἀνοήτως;»

516 Ὁ δέ μ’ εὐθὺς ὑποβλέψας ἂν ἔφασκ’, εἰ μὴ τὸν στήμονα νήσω,

520 ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν· «πόλεμος δ’ ἄνδρεσσι μελήσει.»

**ΠΡΟΒΟΥΛΟΣ**

520 Ὀρθῶς γε λέγων νὴ Δί’ ἐκεῖνος.

**ΛΥΣΙΣΤΡΑΤΗ**

521 Πῶς ὀρθῶς, ὦ κακόδαιμον, εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι; Ὅτε δὴ δ’ ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν ἤδη· «Οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ.» — «Μὰ Δί’ οὐ δῆτ’,» εἶφ’ ἕτερός τις, —

525 μετὰ ταῦθ’ ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν Ἑλλάδα κοινῇ ταῖσι γυναιξὶν συλλεχθείσαις. Ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι; Ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ’ ἀντακροᾶσθαι κἀντισιωπᾶν ὥσπερ χἠμεῖς, ἐπανορθώσαιμεν ἂν ὑμᾶς.

**ΠΡΟΒΟΥΛΟΣ**

525 Ὑμεῖς ἡμᾶς; Δεινόν γε λέγεις κοὐ τλητὸν ἔμοιγε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

529 Σιώπα.

**ΠΡΟΒΟΥΛΟΣ**

530 Σοί γ’, ὦ κατάρατε, σιωπῶ ’γώ, καὶ ταῦτα κάλυμμα φορούσῃ περὶ τὴν κεφαλήν; Μή νυν ζῴην.

**ΛΥΣΙΣΤΡΑΤΗ**

531 Ἀλλ’ εἰ τοῦτ’ ἐμπόδιόν σοι, παρ’ ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν, κᾆτα σιώπα.

**ΚΛΕΟΝΙΚΗ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

535 Καὶ τουτονγὶ τὸν καλαθίσκον. Κᾆτα ξαίνειν ξυζωσάμενος κυάμους τρώγων· πόλεμος δὲ γυναιξὶ μελήσει.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

535 Ἀπαίρετ’, ὦ γυναῖκες, ἀπὸ τῶν καλπίδων, ὅπως ἂν

540 ἐν τῷ μέρει χἠμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.

540 Ἐγὼ γὰρ οὔποτ’ ἂν κάμοιμ’ ὀρχουμένη, οὐδὲ γόνατ’ ἂν κόπος ἕλοι με καματήριος. Ἐθέλω δ’ ἐπὶ πᾶν ἰέναι μετὰ τῶνδ’ ἀρετῆς ἕνεχ’, αἷς

545 ἔνι φύσις, ἔνι χάρις, ἔνι θράσος, ἔνι τὸ σοφόν, ἔνι δὲ φιλόπολις ἀρετὴ φρόνιμος.

549 Ἀλλ’, ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαληφῶν,

549 χωρεῖτ’ ὀργῇ καὶ μὴ τέγγεσθ’· ἔτι γὰρ νῦν οὔρια θεῖτε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

549 Ἀλλ’ ἤνπερ ὅ τε γλυκύθυμος Ἔρως χὴ Κυπρογένει’ Ἀφροδίτη ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ, κᾆτ’ ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμούς, οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.

**ΠΡΟΒΟΥΛΟΣ**

555 Τί ποησάσας;

**ΛΥΣΙΣΤΡΑΤΗ**

555 Ἢν παύσωμεν πρώτιστον μὲν ξὺν ὅπλοισιν ἀγοράζοντας καὶ μαινομένους.

**ΚΛΕΟΝΙΚΗ**

556 Νὴ τὴν Παφίαν Ἀφροδίτην.

**ΛΥΣΙΣΤΡΑΤΗ**

556 Νῦν μὲν γὰρ δὴ κἀν ταῖσι χύτραις καὶ τοῖς λαχάνοισιν ὁμοίως περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις ὥσπερ Κορύβαντες.

**ΠΡΟΒΟΥΛΟΣ**

556 Νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους.

**ΛΥΣΙΣΤΡΑΤΗ**

559 Καὶ μὴν τό γε πρᾶγμα γέλοιον,

560 ὅταν ἀσπίδ’ ἔχων καὶ Γοργόνα τις κᾆτ’ ὠνῆται κορακίνους.

**ΚΛΕΟΝΙΚΗ**

560 Νὴ Δί’ ἐγὼ γοῦν ἄνδρα κομήτην φυλαρχοῦντ’ εἶδον ἐφ’ ἵππου εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός· ἕτερος δ’ αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον ὥσπερ ὁ Τηρεύς, ἐδεδίττετο τὴν ἰσχαδόπωλιν καὶ τὰς δρυπεπεῖς κατέπινεν.

**ΠΡΟΒΟΥΛΟΣ**

565 Πῶς οὖν ὑμεῖς δυναταὶ παῦσαι τεταραγμένα πράγματα πολλὰ ἐν ταῖς χώραις καὶ διαλῦσαι;

**ΛΥΣΙΣΤΡΑΤΗ**

566 Φαύλως πάνυ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΡΟΒΟΥΛΟΣ**

566 Πῶς; Ἀπόδειξον.

**ΛΥΣΙΣΤΡΑΤΗ**

566 Ὥσπερ κλωστῆρ’, ὅταν ἡμῖν ᾖ τεταραγμένος, ὧδε λαβοῦσαι, ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις τὸ μὲν ἐνταυθοῖ, τὸ δ’ ἐκεῖσε, οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν, ἤν τις ἐάσῃ,

570 διενεγκοῦσαι διὰ πρεσβειῶν τὸ μὲν ἐνταυθοῖ, τὸ δ’ ἐκεῖσε.

**ΠΡΟΒΟΥΛΟΣ**

570 Ἐξ ἐρίων δὴ καὶ κλωστήρων καὶ ἀτράκτων πράγματα δεινὰ παύσειν οἴεσθ’; Ὡς ἀνόητοι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

572 Κἂν ὑμῖν γ’ εἴ τις ἐνῆν νοῦς, ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ’ ἂν ἅπαντα.

**ΠΡΟΒΟΥΛΟΣ**

572 Πῶς δή; Φέρ’ ἴδω.

**ΛΥΣΙΣΤΡΑΤΗ**

574 Πρῶτον μὲν χρῆν, ὥσπερ πόκον, ἐν βαλανείῳ

575 ἐκπλύναντας τὴν οἰσπώτην ἐκ τῆς πόλεως, ἐπὶ κλίνης ἐκραβδίζειν τοὺς μοχθηροὺς καὶ τοὺς τριβόλους ἀπολέξαι, καὶ τούς γε συνισταμένους τούτους καὶ τοὺς πιλοῦντας ἑαυτοὺς ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι καὶ τὰς κεφαλὰς ἀποτῖλαι· εἶτα ξαίνειν εἰς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας

580 καταμειγνύντας· τούς τε μετοίκους κεἴ τις ξένος ᾖ φίλος ὑμῖν,

580 κεἴ τις ὀφείλῃ τῷ δημοσίῳ, καὶ τούτους ἐγκαταμεῖξαι· καὶ νὴ Δία τάς γε πόλεις, ὁπόσαι τῆς γῆς τῆσδ’ εἰσὶν ἄποικοι, διαγιγνώσκειν ὅτι ταῦθ’ ἡμῖν ὥσπερ τὰ κατάγματα κεῖται χωρὶς ἕκαστον· κᾆτ’ ἀπὸ τούτων πάντων τὸ κάταγμα λαβόντας

585 δεῦρο ξυνάγειν καὶ ξυναθροίζειν εἰς ἕν, κἄπειτα ποῆσαι τολύπην μεγάλην κᾆτ’ ἐκ ταύτης τῷ δήμῳ χλαῖναν ὑφῆναι.

**ΠΡΟΒΟΥΛΟΣ**

585 Οὔκουν δεινὸν ταυτὶ ταύτας ῥαβδίζειν καὶ τολυπεύειν, αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου;

**ΛΥΣΙΣΤΡΑΤΗ**

588 Καὶ μήν, ὦ παγκατάρατε, πλεῖν ἢ τὸ διπλοῦν αὐτοῦ φέρομεν. Πρώτιστον μέν γε τεκοῦσαι

590 κἀκπέμψασαι παῖδας ὁπλίτας—

**ΠΡΟΒΟΥΛΟΣ**

590 Σίγα, μὴ μνησικακήσῃς.

**ΛΥΣΙΣΤΡΑΤΗ**

590 εἶθ’ ἡνίκα χρῆν εὐφρανθῆναι καὶ τῆς ἥβης ἀπολαῦσαι, μονοκοιτοῦμεν διὰ τὰς στρατιάς. Καὶ θἠμέτερον μὲν ἐάσω, περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν ἀνιῶμαι.

**ΠΡΟΒΟΥΛΟΣ**

590 Οὔκουν χἄνδρες γηράσκουσιν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΛΥΣΙΣΤΡΑΤΗ**

594 Μὰ Δί’ ἀλλ’ οὐκ εἶπας ὅμοιον.

595 Ὁ μὲν ἥκων γάρ, κἂν ᾖ πολιός, ταχὺ παῖδα κόρην γεγάμηκεν· τῆς δὲ γυναικὸς μικρὸς ὁ καιρός, κἂν τούτου μὴ ’πιλάβηται, οὐδεὶς ἐθέλει γῆμαι ταύτην, ὀττευομένη δὲ κάθηται.

**ΠΡΟΒΟΥΛΟΣ**

595 Ἀλλ’ ὅστις ἔτι στῦσαι δυνατὸς—

**ΛΥΣΙΣΤΡΑΤΗ**

595 Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνῄσκεις;

595 Χωρίον ἐστίν· σορὸν ὠνήσει· μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω. Λαβὲ ταυτὶ καὶ στεφάνωσαι.

**ΚΛΕΟΝΙΚΗ**

595 Καὶ ταυτασὶ δέξαι παρ’ ἐμοῦ.

**ΜΥΡΡΙΝΗ**

595 Καὶ τουτονγὶ λαβὲ τὸν στέφανον.

**ΛΥΣΙΣΤΡΑΤΗ**

605 Τοῦ δεῖ; Τί ποθεῖς; Χώρει ’ς τὴν ναῦν· ὁ Χάρων σε καλεῖ, σὺ δὲ κωλύεις ἀνάγεσθαι.

**ΠΡΟΒΟΥΛΟΣ**

605 Εἶτ’ οὐχὶ δεινὸν ταῦτα πάσχειν ἔστ’ ἐμέ; Νὴ τὸν Δί’ ἀλλὰ τοῖς προβούλοις ἄντικρυς

610 ἐμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.

**ΛΥΣΙΣΤΡΑΤΗ**

610 Μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προὐθέμεσθά σε; Ἀλλ’ εἰς τρίτην γοῦν ἡμέραν σοι πρῴ πάνυ ἥξει παρ’ ἡμῶν τὰ τρίτ’ ἐπεσκευασμένα.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

613 Οὐκέτ’ ἔργον ἐγκαθεύδειν ὅστις ἔστ’ ἐλεύθερος.

615 Ἀλλ’ ἐπαποδυώμεθ’, ὦνδρες, τουτῳὶ τῷ πράγματι. Ἤδη γὰρ ὄζει ταδὶ πλειόνων καὶ μειζόνων πραγμάτων μοι δοκεῖ,

618-619 καὶ μάλιστ’ ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος·

620 καὶ πάνυ δέδοικα μὴ τῶν Λακώνων τινὲς

621-622 δεῦρο συνεληλυθότες ἄνδρες εἰς Κλεισθένους

623 τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπάρωσιν δόλῳ καταλαβεῖν τὰ χρήμαθ’ ἡμῶν τόν τε μισθόν,

625 ἔνθεν ἔζων ἐγώ.

625 Δεινὰ γάρ τοι τάσδε γ’ ἤδη τοὺς πολίτας νουθετεῖν, καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι, καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς, οἷσι πιστὸν οὐδὲν εἰ μή περ λύκῳ κεχηνότι.

630 Ἀλλὰ ταῦθ’ ὕφηναν ἡμῖν, ὦνδρες, ἐπὶ τυραννίδι. Ἀλλ’ ἐμοῦ μὲν οὐ τυραννεύσους’, ἐπεὶ φυλάξομαι καὶ «φορήσω τὸ ξίφος» τὸ λοιπὸν «ἐν μύρτου κλαδί,» ἀγοράσω τ’ ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι, ὧδέ θ’ ἑστήξω παρ’ αὐτόν· αὐτὸ γάρ μοι γίγνεται

635 τῆς θεοῖς ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν γνάθον.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

635 Οὐκ ἄρ’ εἰσιόντα ς’ οἴκαδ’ ἡ τεκοῦσα γνώσεται. Ἀλλὰ θώμεσθ’, ὦ φίλαι γρᾶες, ταδὶ πρῶτον χαμαί. Ἡμεῖς γάρ, ὦ πάντες ἀστοί, λόγων κατάρχομεν τῇ πόλει χρησίμων·

640 εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με·

641-642 Ἑπτὰ μὲν ἔτη γεγῶς’ εὐθὺς ἠρρηφόρουν·

643-644 εἶτ’ ἀλετρὶς ἦ δεκέτις οὖσα τἀρχηγέτι·

645 κᾆτ’ ἔχουσα τὸν κροκωτὸν ἄρκτος ἦ Βραυρωνίοις· κἀκανηφόρουν ποτ’ οὖσα παῖς καλὴ ’χους’ ἰσχάδων ὁρμαθόν.

647 Ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι; Εἰ δ’ ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθονεῖτέ μοι,

647 ἢν ἀμείνω γ’ εἰσενέγκω τῶν παρόντων πραγμάτων. Τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας εἰσφέρω. Τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ’ ὑμῖν, ἐπεὶ τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν εἶτ’ ἀναλώσαντες οὐκ ἀντεισφέρετε τὰς εἰσφοράς,

655 ἀλλ’ ὑφ’ ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν. Ἆρα γρυκτόν ἐστιν ὑμῖν; Εἰ δὲ λυπήσεις τί με,

655 τῷδέ ς’ ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

655 Ταῦτ’ οὖν οὐχ ὕβρις τὰ πράγματ’ ἐστὶ πολλή; κἀπιδώσειν

660 μοι δοκεῖ τὸ χρῆμα μᾶλλον. Ἀλλ’ ἀμυντέον τὸ πρᾶγμ’ ὅστις γ’ ἐνόρχης ἔστ’ ἀνήρ. Ἀλλὰ τὴν ἐξωμίδ’ ἐκδυώμεθ’, ὡς τὸν ἄνδρα δεῖ ἀνδρὸς ὄζειν εὐθύς, ἀλλ’ οὐκ ἐντεθριῶσθαι πρέπει. Ἀλλ’ ἄγετε λευκόποδες, οἵπερ ἐπὶ

665 Λειψύδριον ἤλθομεν ὅτ’ ἦμεν ἔτι,

666-669 νῦν δεῖ, νῦν ἀνηβῆσαι πάλιν κἀναπτερῶσαι

670 πᾶν τὸ σῶμα κἀποσείσασθαι τὸ γῆρας τόδε.

671-672 Εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν,

673 οὐδὲν ἐλλείψουσιν αὗται λιπαροῦς χειρουργίας, ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσους’ ἔτι

675 ναυμαχεῖν καὶ πλεῖν ἐφ’ ἡμᾶς, ὥσπερ Ἀρτεμισία. Ἢν δ’ ἐφ’ ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱππέας· ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή, κοὐκ ἂν ἀπολίσθοι τρέχοντος. Τὰς Ἀμαζόνας σκόπει, ἃς Μίκων ἔγραψ’ ἐφ’ ἵππων μαχομένας τοῖς ἀνδράσιν.

680 Ἀλλὰ τούτων χρῆν ἁπασῶν εἰς τετρημένον ξύλον ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

681 Εἰ νὴ τὼ θεώ με ζωπυρήσεις, λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή, καὶ ποήσω

685 τήμερον τοὺς δημότας βωστρεῖν ς’ ἐγὼ πεκτούμενον. Ἀλλὰ χἠμεῖς, ὦ γυναῖκες, θᾶττον ἐκδυώμεθα,

685 ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.

688-689 Νῦν πρὸς ἔμ’ ἴτω τις, ἵνα μήποτε φά-

690 γῃ σκόροδα, μηδὲ κυάμους μέλανας.

691-694 Ὡς εἰ καὶ μόνον κακῶς ἐρεῖς, —ὑπερχολῶ γάρ, —

695 αἰετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

695 Οὐ γὰρ ὑμῶν φροντίσαιμ’ ἄν, ἢν ἐμοὶ ζῇ Λαμπιτὼ ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία. Οὐ γὰρ ἔσται δύναμις, οὐδ’ ἢν ἑπτάκις σὺ ψηφίσῃ, ὅστις, ὦ δύστην’, ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.

695 Ὥστε κἀχθὲς θἠκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ ταῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ’ ἐκ τῶν γειτόνων, παῖδα χρηστὴν κἀγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν, οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα. Κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων τούτων, πρὶν ἂν

705 τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.

705 Ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος, τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;

**ΛΥΣΙΣΤΡΑΤΗ**

705 Κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν ποεῖ μ’ ἄθυμον περιπατεῖν ἄνω κάτω.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

710 Τί φῄς; Τί φῄς;

**ΛΥΣΙΣΤΡΑΤΗ**

710 Ἀληθῆ, ἀληθῆ.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

711-712 Τί δ’ ἐστὶ δεινόν; Φράζε ταῖς σαυτῆς φίλαις.

**ΛΥΣΙΣΤΡΑΤΗ**

713 Ἀλλ’ αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

713 Μή νύν με κρύψῃς ὅ τι πεπόνθαμεν κακόν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

715 Βινητιῶμεν, ᾗ βράχιστον τοῦ λόγου.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

715 Ἰὼ Ζεῦ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

715 Τί Ζῆν’ ἀυτεῖς; Ταῦτα δ’ οὖν οὕτως ἔχει. Ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι οἵα τ’ ἀπὸ τῶν ἀνδρῶν· διαδιδράσκουσι γάρ.

720 Τὴν μέν γε πρώην διαλέγουσαν τὴν ὀπὴν κατέλαβον ᾗ τοῦ Πανός ἐστι ταὐλίον, τὴν δ’ ἐκ τροχιλείας αὖ κατειλυσπωμένην, τὴν δ’ αὐτομολοῦσαν· τὴν δ’ ἐπὶ στρούθου μίαν ἤδη πέτεσθαι διανοουμένην κάτω

725 εἰς Ὀρσιλόχου χθὲς τῶν τριχῶν κατέσπασα. Πάσας τε προφάσεις ὥστ’ ἀπελθεῖν οἴκαδε ἕλκουσιν. Ἡδὶ γοῦν τις αὐτῶν ἔρχεται. Αὕτη σύ, ποῖ θεῖς;

**ΓΥΝΗ Α**

728 Οἴκαδ’ ἐλθεῖν βούλομαι. Οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια

730 ὑπὸ τῶν σέων κατακοπτόμενα.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

730 Ποίων σέων; Οὐκ εἶ πάλιν;

731 Ἀλλ’ ἥξω ταχέως νὴ τὼ θεὼ ὅσον διαπετάσασ’ ἐπὶ τῆς κλίνης μόνον.

731 Μὴ διαπετάννυ, μηδ’ ἀπέλθῃς μηδαμῇ.

731 Ἀλλ’ ἐῶ ’πολέσθαι τἄρι’;

734 Ἢν τούτου δέῃ.

**ΓΥΝΗ Β**

735 Τάλαιν’ ἐγώ, τάλαινα τῆς ἀμόργιδος, ἣν ἄλοπον οἴκοι καταλέλοιφ’.

**ΛΥΣΙΣΤΡΑΤΗ**

736 Αὕτη ’τέρα ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται. Χώρει πάλιν δεῦρ’.

738 Ἀλλὰ νὴ τὴν Φωσφόρον ἔγωγ’ ἀποδείρασ’ αὐτίκα μάλ’ ἀνέρχομαι.

740 Μή, μἀποδείρῃς· ἢν γὰρ ἄρξῃς τουτουί, ἑτέρα γυνὴ ταὐτὸν ποεῖν βουλήσεται.

**ΓΥΝΗ Γ**

742 Ὦ πότνι’ ‘Ιλείθυ’, ἐπίσχες τοῦ τόκου ἕως ἂν εἰς ὅσιον μόλω ’γὼ χωρίον.

**ΛΥΣΙΣΤΡΑΤΗ**

742 Τί ταῦτα ληρεῖς;

744 Αὐτίκα μάλα τέξομαι.

745 Ἀλλ’ οὐκ ἐκύεις σύ γ’ ἐχθές.

745 Ἀλλὰ τήμερον. Ἀλλ’ οἴκαδέ μ’ ὡς τὴν μαῖαν, ὦ Λυσιστράτη, ἀπόπεμψον ὡς τάχιστα.

747 Τίνα λόγον λέγεις; Τί τοῦτ’ ἔχεις τὸ σκληρόν;

748 Ἄρρεν παιδίον.

748 Μὰ τὴν Ἀφροδίτην οὐ σύ γ’ ἀλλ’ ἢ χαλκίον

748 ἔχειν τι φαίνει κοῖλον· εἴσομαι δ’ ἐγώ. Ὦ καταγέλαστ’, ἔχουσα τήνδ’ ἱερὰν κυνῆν κυεῖν ἔφασκες;

752 Καὶ κυῶ γε νὴ Δία.

752 Τί δῆτα ταύτην εἶχες;

753 Ἵνα μ’ εἰ καταλάβοι ὁ τόκος ἔτ’ ἐν πόλει, τέκοιμ’ εἰς τὴν κυνῆν

755 εἰσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.

755 Τί λέγεις; Προφασίζει· περιφανῆ τὰ πράγματα. Οὐ τἀμφιδρόμια τῆς κυνῆς αὐτοῦ μενεῖς;

755 Ἀλλ’ οὐ δύναμαι ’γωγ’ οὐδὲ κοιμᾶσθ’ ἐν πόλει, ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε.

760 Ἐγὼ δ’ ὑπὸ τῶν γλαυκῶν γε τάλαιν’ ἀπόλλυμαι ταῖς ἀγρυπνίαισι κικκαβαζουσῶν ἀεί.

760 Ὦ δαιμόνιαι, παύσασθε τῶν τερατευμάτων. Ποθεῖτ’ ἴσως τοὺς ἄνδρας· ἡμᾶς δ’ οὐκ οἴει ποθεῖν ἐκείνους; Ἀργαλέας γ’ εὖ οἶδ’ ὅτι

765 ἄγουσι νύκτας. Ἀλλ’ ἀνάσχεσθ’, ὦγαθαί, καὶ προσταλαιπωρήσατ’ ἔτ’ ὀλίγον χρόνον· ὡς χρησμὸς ἡμῖν ἐστιν ἐπικρατεῖν, ἐὰν μὴ στασιάσωμεν. Ἔστι δ’ ὁ χρησμὸς ούτοσί.

765 Λέγ’ αὐτὸν ἡμῖν ὅ τι λέγει.

769 Σιγᾶτε δή.

770 Ἀλλ’ ὁπόταν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον, τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων, παῦλα κακῶν ἔσται, τὰ δ’ ὑπέρτερα νέρτερα θήσει Ζεὺς ὑψιβρεμέτης—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπάνω κατακεισόμεθ’ ἡμεῖς;
ἢν δὲ διαστῶσιν καὶ ἀνάπτωνται πτερύγεσσιν
ἐξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει ὄρνεον οὐδ’ ὁτιοῦν καταπυγωνέστερον εἶναι.
Σαφής γ’ ὁ χρησμὸς νὴ Δί’. Ὦ πάντες θεοί.
Μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι, ἀλλ’ εἰσίωμεν. Καὶ γὰρ αἰσχρὸν τουτογί,
ὦ φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Μῦθον βούλομαι λέξαι τιν’ ὑμῖν,
ὅν ποτ’ ἤκους’ αὐτὸς ἔτι παῖς ὤν.
Οὕτως ἦν νεανίσκος Μελανίων τις, ὃς φεύ-
γων γάμον ἀφίκετ’ ἐς ἐρημίαν, κἀν
τοῖς ὄρεσιν ᾤκει· κᾆτ’ ἐλαγοθήρει
πλεξάμενος ἄρκυς, καὶ κύνα τιν’ εἶχεν
κοὐκέτι κατῆλθε πάλιν οἴκαδ’ ὑπὸ μίσους.
Οὕτω τὰς γυναῖκας ἐβδελύχθη κεῖνος, ἡμεῖς δ’ οὐδὲν ἧττον τοῦ Μελανίωνος, οἱ σώφρονες.
Βούλομαί σε, γραῦ, κύσαι—

**ΓΥΝΗ**

Κρομμύων τἄρ’ οὔ σε δεῖ.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

κἀνατείνας λακτίσαι.

**ΓΥΝΗ**

Τὴν λόχμην πολλὴν φορεῖς.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Καὶ Μυρωνίδης γὰρ ἦν τραχὺς ἐντεῦθεν μελάμπυγός τε τοῖς ἐχθροῖς ἐπᾴσσειν· ὣς δὲ καὶ Φορμίων.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Κἀγὼ βούλομαι μῦθόν τιν’ ὑμῖν ἀντιλέξαι τῷ Μελανίωνι.
Τίμων ἦν τις ἀίδρυτος ἀβάτοισι τὸ πρόσ-
ωπον εὖ σκώλοισι περιειργμένος, Ἐρινύων ἀπορρώξ. Οὗτος οὖν ὁ Τίμων
ᾤχεθ’ ὑπὸ μίσους
πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
Οὕτω κεῖνος ἡμῖν ἀντεμίσει τοὺς πονηροὺς
ἄνδρας ἀεί, ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.

**ΓΥΝΗ**

Τὴν γνάθον βούλει θένω;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μηδαμῶς· ἔδεισα γάρ.

**ΓΥΝΗ**

Ἀλλὰ κρούσω τῷ σκέλει;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Τὸν σάκανδρον ἐκφανεῖς.

**ΓΥΝΗ**

Ἀλλ’ ὅμως ἂν οὐκ ἴδοις καίπερ οὔσης γραὸς ὄντ’ αὐτὸν κομήτην, ἀλλ’ ἀπεψι-
λωμένον τῷ λύχνῳ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἰοὺ ἰού, γυναῖκες, ἴτε δεῦρ’ ὡς ἐμὲ
ταχέως.

**ΓΥΝΗ**

Τί δ’ ἐστίν; Εἰπέ μοι, τίς ἡ βοή;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἄνδρ’, ἄνδρ’ ὁρῶ προσιόντα παραπεπληγμένον, τοῖς τῆς Ἀφροδίτης ὀργίοις εἰλημμένον. Ὦ πότνια, Κύπρου καὶ Κυθήρων καὶ Πάφου μεδέους’. Ἴθ’ ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν.

**ΓΥΝΗ**

Ποῦ δ’ ἐστίν, ὅστις ἐστί;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Παρὰ τὸ τῆς Χλόης.

**ΓΥΝΗ**

Ὢ νὴ Δί’ ἐστὶ δῆτα. Τίς κἀστίν ποτε;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ὁρᾶτε. Γιγνώσκει τις ὑμῶν;

**ΜΥΡΡΙΝΗ**

Νὴ Δία ἔγωγε· κἄστιν οὑμὸς ἀνὴρ Κινησίας.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Σὸν ἔργον ἤδη τοῦτον ὀπτᾶν καὶ στρέφειν
κἀξηπεροπεύειν καὶ φιλεῖν καὶ μὴ φιλεῖν, καὶ πάνθ’ ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ.

**ΜΥΡΡΙΝΗ**

Ἀμέλει, ποήσω ταῦτ’ ἐγώ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Καὶ μὴν ἐγὼ ξυνηπεροπεύσω σοὶ παραμένους’ ἐνθαδί, καὶ ξυσταθεύσω τοῦτον. Ἀλλ’ ἀπέλθετε.

**ΚΙΝΗΣΙΑΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

845 Οἴμοι κακοδαίμων, οἷος ὁ σπασμός μ’ ἔχει χὠ τέτανος ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.

**ΛΥΣΙΣΤΡΑΤΗ**

845 Τίς οὗτος ούντὸς τῶν φυλάκων ἑστώς;

**ΚΙΝΗΣΙΑΣ**

847 Ἐγώ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

847 Ἀνήρ;

**ΚΙΝΗΣΙΑΣ**

848 Ἀνὴρ δῆτ’.

**ΛΥΣΙΣΤΡΑΤΗ**

848 Οὐκ ἄπει δῆτ’ ἐκποδών;

**ΚΙΝΗΣΙΑΣ**

848 Σὺ δ’ εἶ τίς ἡκβάλλουσά μ’;

**ΛΥΣΙΣΤΡΑΤΗ**

849 Ἡμεροσκόπος.

**ΚΙΝΗΣΙΑΣ**

849 Πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυρρίνην.

**ΛΥΣΙΣΤΡΑΤΗ**

849 Ἰδοὺ καλέσω ’γὼ Μυρρίνην σοι; Σὺ δὲ τίς εἶ;

**ΚΙΝΗΣΙΑΣ**

849 Ἁνὴρ ἐκείνης, Παιονίδης Κινησίας.

**ΛΥΣΙΣΤΡΑΤΗ**

849 Ὦ χαῖρε φίλτατ’· οὐ γὰρ ἀκλεὲς τοὔνομα τὸ σὸν παρ’ ἡμῖν ἐστιν οὐδ’ ἀνώνυμον.
855 Ἀεὶ γὰρ ἡ γυνή ς’ ἔχει διὰ στόμα. Κἂν ᾠὸν ἢ μῆλον λάβῃ, «Κινησίᾳ τουτὶ γένοιτο,» φησίν.

**ΚΙΝΗΣΙΑΣ**

857 Ὢ πρὸς τῶν θεῶν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

857 Νὴ τὴν Ἀφροδίτην· κἂν περὶ ἀνδρῶν γ’ ἐμπέσῃ λόγος τις, εἴρηκ’ εὐθέως ἡ σὴ γυνὴ
860 ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.

**ΚΙΝΗΣΙΑΣ**

860 Ἴθι νυν κάλεσον αὐτήν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

861 Τί οὖν; Δώσεις τί μοι;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΙΝΗΣΙΑΣ**

Ἔγωγε τόδε νὴ τὸν Δί’, ἢν βούλῃ γε σύ. Ἔχω δὲ τουτ’· ὅπερ οὖν ἔχω, δίδωμί σοι.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Φέρε νυν καλέσω καταβᾶσά σοι.

**ΚΙΝΗΣΙΑΣ**

Ταχύ νυν πάνυ·

ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν, ἐξ οὗπερ αὕτη ’ξῆλθεν ἐκ τῆς οἰκίας, ἀλλ’ ἄχθομαι μὲν εἰσιών, ἔρημα δὲ εἶναι δοκεῖ μοι πάντα, τοῖς δὲ σιτίοις χάριν οὐδεμίαν οἶδ’ ἐσθίων. Ἔστυκα γάρ.

**ΜΥΡΡΙΝΗ**

Φιλῶ φιλῶ ’γὼ τοῦτον· ἀλλ’ οὐ βούλεται ὑπ’ ἐμοῦ φιλεῖσθαι. Σὺ δέ με τούτῳ μὴ κάλει.

**ΚΙΝΗΣΙΑΣ**

Ὦ γλυκύτατον Μυρρινίδιον, τί ταῦτα δρᾷς; Κατάβηθι δεῦρο.

**ΜΥΡΡΙΝΗ**

Μὰ Δί’ ἐγὼ μὲν αὐτόσ’ οὔ.

**ΚΙΝΗΣΙΑΣ**

Ἐμοῦ καλοῦντος οὐ καταβήσει Μυρρίνη;

**ΜΥΡΡΙΝΗ**

Οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ.

**ΚΙΝΗΣΙΑΣ**

Ἐγὼ οὐ δεόμενος; Ἐπιτετριμμένος μὲν οὖν.

**ΜΥΡΡΙΝΗ**

Ἄπειμι.

**ΚΙΝΗΣΙΑΣ**

Μὴ δῆτ’, ἀλλὰ τῷ γοῦν παιδίῳ ὑπάκουσον. Οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;

**ΠΑΙΔΙΟΝ**

Μαμμία, μαμμία, μαμμία.

**ΚΙΝΗΣΙΑΣ**

Αὕτη, τί πάσχεις; Οὐδ’ ἐλεεῖς τὸ παιδίον ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;

**ΜΥΡΡΙΝΗ**

Ἔγωγ’ ἐλεῶ δῆτ’· ἀλλ’ ἀμελὴς αὐτῷ πατήρ ἐστιν.

**ΚΙΝΗΣΙΑΣ**

Κατάβηθ’, ὦ δαιμονία, τῷ παιδίῳ.

**ΜΥΡΡΙΝΗ**

883 Οἷον τὸ τεκεῖν. Καταβατέον. Τί γὰρ πάθω;

**ΚΙΝΗΣΙΑΣ**

885 Ἐμοὶ μὲν αὕτη καὶ νεωτέρα δοκεῖ πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν· χἃ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται, ταῦτ᾽ αὐτὰ δή ᾽σθ᾽ ἃ καί μ᾽ ἐπιτρίβει τῷ πόθῳ.

**ΜΥΡΡΙΝΗ**

885 Ὦ γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρός,
890 φέρε σε φιλήσω, γλυκύτατον τῇ μαμμίᾳ.

**ΚΙΝΗΣΙΑΣ**

890 Τί, ὦ πονήρα, ταῦτα ποιεῖς χἀτέραις πείθει γυναιξί; Κἀμέ τ᾽ ἄχθεσθαι ποεῖς αὐτή τε λυπεῖ.

**ΜΥΡΡΙΝΗ**

893 Μὴ πρόσαγε τὴν χεῖρά μοι.

**ΚΙΝΗΣΙΑΣ**

893 Τὰ δ᾽ ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
895 χεῖρον διατίθης.

**ΜΥΡΡΙΝΗ**

895 Ὀλίγον αὐτῶν μοι μέλει.

**ΚΙΝΗΣΙΑΣ**

895 Ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης ὑπὸ τῶν ἀλεκτρυόνων;

**ΜΥΡΡΙΝΗ**

897 Ἔμοιγε νὴ Δία.

**ΚΙΝΗΣΙΑΣ**

897 Τὰ τῆς Ἀφροδίτης ἱέρ᾽ ἀνοργίαστά σοι χρόνον τοσοῦτόν ἐστιν. Οὐ βαδιεῖ πάλιν;

**ΜΥΡΡΙΝΗ**

897 Μὰ Δί᾽ οὐκ ἔγωγ᾽, ἢν μὴ διαλλαχθῆτέ γε καὶ τοῦ πολέμου παύσησθε.

**ΚΙΝΗΣΙΑΣ**

901 Τοιγάρ, ἢν δοκῇ, ποήσομεν καὶ ταῦτα.

**ΜΥΡΡΙΝΗ**

902 Τοιγάρ, ἢν δοκῇ, κἄγωγ᾽ ἄπειμ᾽ ἐκεῖσε· νῦν δ᾽ ἀπομώμοκα.

**ΚΙΝΗΣΙΑΣ**

902 Σὺ δ᾽ ἀλλὰ κατακλίνηθι μετ᾽ ἐμοῦ διὰ χρόνου.

**ΜΥΡΡΙΝΗ**

905 Οὐ δῆτα· καίτοι ς᾽ οὐκ ἐρῶ γ᾽ ὡς οὐ φιλῶ.

**ΚΙΝΗΣΙΑΣ**

905 Φιλεῖς; Τί οὖν οὐ κατεκλίνης, ὦ Μύρριον;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΜΥΡΡΙΝΗ**

905 Ὦ καταγέλαστ’, ἐναντίον τοῦ παιδίου;

**ΚΙΝΗΣΙΑΣ**

905 Μὰ Δί’ ἀλλὰ τοῦτό γ’ οἴκαδ’, ὦ Μανῆ, φέρε. Ἰδοὺ τὸ μέν σοι παιδίον καὶ δὴ ’κποδών·
910 σὺ δ’ οὐ κατακλινεῖ;

**ΜΥΡΡΙΝΗ**

910 Ποῦ γὰρ ἄν τις καί, τάλαν, δράσειε τοῦθ’;

**ΚΙΝΗΣΙΑΣ**

911 Ὅπου; τὸ τοῦ Πανὸς καλόν.

**ΜΥΡΡΙΝΗ**

911 Καὶ πῶς ἔθ’ ἁγνὴ δῆτ’ ἂν ἔλθοιμ’ εἰς πόλιν;

**ΚΙΝΗΣΙΑΣ**

911 Κάλλιστα δήπου, λουσαμένη τῇ Κλεψύδρᾳ.

**ΜΥΡΡΙΝΗ**

911 Ἔπειτ’ ὀμόσασα δῆτ’ ἐπιορκήσω, τάλαν;

**ΚΙΝΗΣΙΑΣ**

915 Εἰς ἐμὲ τράποιτο· μηδὲν ὅρκου φροντίσῃς.

**ΜΥΡΡΙΝΗ**

915 Φέρε νυν ἐνέγκω κλινίδιον νῷν.

**ΚΙΝΗΣΙΑΣ**

916 Μηδαμῶς. Ἀρκεῖ χαμαὶ νῷν.

**ΜΥΡΡΙΝΗ**

917 Μὰ τὸν Ἀπόλλω, μή ς’ ἐγὼ καίπερ τοιοῦτον ὄντα κατακλινῶ χαμαί.

**ΚΙΝΗΣΙΑΣ**

917 Ἥ τοι γυνὴ φιλεῖ με, δήλη ’στὶν καλῶς.

**ΜΥΡΡΙΝΗ**

920 Ἰδού, κατάκεις’ ἁνύσας τι, κἀγὼ ’κδύομαι. Καίτοι, τὸ δεῖνα, ψίαθός ἐστ’ ἐξοιστέα.

**ΚΙΝΗΣΙΑΣ**

920 Ποία ψίαθος; Μή μοί γε.

**ΜΥΡΡΙΝΗ**

922 Νὴ τὴν Ἄρτεμιν, αἰσχρὸν γὰρ ἐπὶ τόνου γε.

**ΚΙΝΗΣΙΑΣ**

923 Δός μοί νυν κύσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΜΥΡΡΙΝΗ**

923 Ἰδού.

**ΚΙΝΗΣΙΑΣ**

924 Παπαιάξ. Ἧκέ νυν ταχέως πάνυ.

**ΜΥΡΡΙΝΗ**

925 Ἰδοὺ ψίαθος. Κατάκεισο, καὶ δὴ ’κδύομαι. Καίτοι, τὸ δεῖνα, προσκεφάλαιον οὐκ ἔχεις.

**ΚΙΝΗΣΙΑΣ**

925 Ἀλλ’ οὐ δέομ’ οὐδὲν ἔγωγε.

**ΜΥΡΡΙΝΗ**

927 Νὴ Δί’ ἀλλ’ ἐγώ.

**ΚΙΝΗΣΙΑΣ**

927 Ἀλλ’ ἦ τὸ πέος τόδ’ Ἡρακλῆς ξενίζεται;

**ΜΥΡΡΙΝΗ**

927 Ἀνίστας’, ἀναπήδησον. Ἤδη πάντ’ ἔχω.

**ΚΙΝΗΣΙΑΣ**

930 Ἅπαντα δῆτα. Δεῦρό νυν, ὦ χρυσίον.

**ΜΥΡΡΙΝΗ**

930 Τὸ στρόφιον ἤδη λύομαι. Μέμνησό νυν·
930 μή μ’ ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.

**ΚΙΝΗΣΙΑΣ**

930 Νὴ Δί’ ἀπολοίμην.

**ΜΥΡΡΙΝΗ**

933 Ἀλλὰ σισύραν οὐκ ἔχεις.

**ΚΙΝΗΣΙΑΣ**

933 Μὰ Δί’ οὐδὲ δέομαί γ’, ἀλλὰ βινεῖν βούλομαι.

**ΜΥΡΡΙΝΗ**

935 Ἀμέλει, ποήσεις τοῦτο· ταχὺ γὰρ ἔρχομαι.

**ΚΙΝΗΣΙΑΣ**

935 Ἅνθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.

**ΜΥΡΡΙΝΗ**

935 Ἔπαιρε σαυτόν.

**ΚΙΝΗΣΙΑΣ**

937 Ἀλλ’ ἐπῆρται τουτογί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΜΥΡΡΙΝΗ**

937 Βούλει μυρίσω σε;

**ΚΙΝΗΣΙΑΣ**

938 Μὰ τὸν Ἀπόλλω μή μέ γε.

**ΜΥΡΡΙΝΗ**

938 Νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ’ ἤν τε μή.

**ΚΙΝΗΣΙΑΣ**

940 Εἴθ’ ἐκχυθείη τὸ μύρον, ὦ Ζεῦ δέσποτα.

**ΜΥΡΡΙΝΗ**

940 Πρότεινε δὴ τὴν χεῖρα κἀλείφου λαβών.

**ΚΙΝΗΣΙΑΣ**

940 Οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογί, εἰ μὴ διατριπτικόν γε κοὐκ ὄζον γάμων.

**ΜΥΡΡΙΝΗ**

940 Τάλαιν’ ἐγώ, τὸ Ῥόδιον ἤνεγκον μύρον.

**ΚΙΝΗΣΙΑΣ**

945 Ἀγαθόν· ἔα αὔτ’, ὦ δαιμονία.

**ΜΥΡΡΙΝΗ**

945 Ληρεῖς ἔχων.

**ΚΙΝΗΣΙΑΣ**

945 Κάκιστ’ ἀπόλοιθ’ ὁ πρῶτος ἑψήσας μύρον.

**ΜΥΡΡΙΝΗ**

945 Λαβὲ τόνδε τὸν ἀλάβαστον.

**ΚΙΝΗΣΙΑΣ**

947 Ἀλλ’ ἕτερον ἔχω. Ἀλλ’ ᾦζυρά, κατάκεισο καὶ μή μοι φέρε μηδέν.

**ΜΥΡΡΙΝΗ**

949 Ποήσω ταῦτα νὴ τὴν Ἄρτεμιν.

949 Ὑπολύομαι γοῦν. Ἀλλ’ ὅπως, ὦ φίλτατε, σπονδὰς ποεῖσθαι ψηφιεῖ.

**ΚΙΝΗΣΙΑΣ**

951 Βουλεύσομαι. —

951 Ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνὴ τά τ’ ἄλλα πάντα κἀποδείρας’ οἴχεται. Οἴμοι τί πάθω; Τίνα βινήσω,

955 τῆς καλλίστης πασῶν ψευσθεία; Πῶς ταυτηνὶ παιδοτροφήσω; Ποῦ Κυναλώπηξ; Μίσθωσόν μοι τὴν τίτθην.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

955 Ἐν δεινῷ γ', ὦ δύστηνε, κακῷ

960 τείρει ψυχὴν ἐξαπατηθείς. Κἄγωγ' οἰκτίρω ς'. Αἰαῖ. Ποῖος γὰρ ἔτ' ἂν νέφρος ἀντίσχοι, ποία ψυχή, ποῖοι δ' ὄρχεις, ποία δ' ὀσφύς, ποῖος δ' ὄρρος

965 κατατεινόμενος καὶ μὴ βινῶν τοὺς ὄρθρους;

**ΚΙΝΗΣΙΑΣ**

965 Ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

965 Ταυτὶ μέντοι νυνί ς' ἐπόης' ἡ παμβδελύρα καὶ παμμυσάρα.

**ΚΙΝΗΣΙΑΣ**

970 Μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκέρα.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

971-972 Ποία γλυκερά; Μιαρὰ μιαρὰ δῆτ', ὦ Ζεῦ.

973 Εἴθ' αὐτὴν ὥσπερ τοὺς θωμοὺς μεγάλῳ τυφῷ καὶ πρηστῆρι

975 ξυστρέψας καὶ ξυγγογγύλας οἴχοιο φέρων, εἶτα μεθείης, ἡ δὲ φέροιτ' αὖ πάλιν εἰς τὴν γῆν,

975 κᾆτ' ἐξαίφνης περὶ τὴν ψωλὴν περιβαίη.

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

980 Πᾶ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωχία ἢ τοὶ πρυτάνιες; Λῶ τι μυσίξαι νέον.

**ΠΡΥΤΑΝΙΣ**

982 Τίς δ' εἶ; πότερον ἄνθρωπος ἢ Κονίσαλος;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

982 Κᾶρυξ ἐγών, ὦ κυρσάνιε, ναὶ τὼ σιὼ ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.

**ΠΡΥΤΑΝΙΣ**

985 Κἄπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

985 Οὐ τὸν Δί' οὐκ ἔγωνγα.

**ΠΡΥΤΑΝΙΣ**

986 Ποῖ μεταστρέφει; Τί δὴ προβάλλει τὴν χλαμύδ'; Ἦ βουβωνιᾷς ὑπὸ τῆς ὁδοῦ;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

988 Ἀλεός γα ναὶ τὸν Κάστορα ὤνθρωπος.

**ΠΡΥΤΑΝΙΣ**

989 Ἀλλ' ἔστυκας, ὦ μιαρώτατε.

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

990 Οὐ τὸν Δί' οὐκ ἔγωνγα· μηδ' αὖ πλαδδίη,

**ΠΡΥΤΑΝΙΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τί δ’ ἐστί σοι τοδί;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

Σκυτάλα Λακωνικά.

**ΠΡΥΤΑΝΙΣ**

Εἴπερ γε, χαὔτη ’στὶ σκυτάλη Λακωνική. Ἀλλ’ ὡς πρὸς εἰδότ’ ἐμὲ σὺ τἀληθῆ λέγε. Τί τὰ πράγμαθ’ ὑμῖν ἐστι τἀν Λακεδαίμονι;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

Ὀρσὰ Λακεδαίμων πᾶἁ καὶ τοὶ σύμμαχοι ἅπαντες ἐστύκαντι· τὰν πελλᾶν δὲ δεῖ.

**ΠΡΥΤΑΝΙΣ**

Ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν; Ἀπὸ Πανός;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

Οὔκ, ἀλλ’ ἆρχε μέν, οἰῶ, Λαμπιτώ, ἔπειτα τἄλλαι ταὶ κατὰ Σπάρταν ἁμᾶ

γυναῖκες ἆπερ ἀπὸ μιᾶς ὑσπλαγίδος ἀπήλαἀν τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.

**ΠΡΥΤΑΝΙΣ**

Πῶς οὖν ἔχετε;

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

Μογίομες· ἂν γὰρ τὰν πόλιν ἆπερ λυχνοφορίοντες ὑποκεκύφαμες. Ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω σιγῆν

ἐῶντι, πρίν χ’ ἅπαντες ἐξ ἑνὸς λόγω σπονδὰς ποιηὥμεσθα κattὰν Ἑλλάδα.

**ΠΡΥΤΑΝΙΣ**

Τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω. Ἀλλ’ ὡς τάχιστα φράζε περὶ διαλλαγῶν

πρέσβεις ἀποπέμπειν αὐτοκράτορας ἐνθαδί. Ἐγὼ δ’ ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω πρέσβεις ἑλέσθαι τὸ πέος ἐπιδείξας τοδί.

**ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ**

Ποτάὁμαι· κράτιστα γὰρ παντᾶ λέγεις.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,

οὐδὲ πῦρ, οὐδ’ ὧδ’ ἀναιδὴς οὐδεμία πόρδαλις.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Ταῦτα μέντοι σὺ ξυνιεὶς εἶτα πολεμεῖς ἐμοί, ἐξόν, ὦ πόνηρέ, σοι βέβαιον ἔμ’ ἔχειν φίλην;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

Ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

Ἀλλ’ ὅταν βούλῃ σύ. Νῦν δ’ οὖν οὔ σε περιόψομαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1020 γυμνὸν ὄνθ’ οὕτως. Ὅρα γὰρ ὡς καταγέλαστος εἶ. Ἀλλὰ τὴν ἐξωμίδ’ ἐνδύσω σε προσιοῦς’ ἐγώ.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

1020 Τοῦτο μὲν μὰ τὸν Δί’ οὐ πονηρὸν ἐποήσατε· ἀλλ’ ὑπ’ ὀργῆς γὰρ πονηρᾶς καὶ τότ’ ἀπέδυν ἐγώ.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

1020 Πρῶτα μὲν φαίνει γ’ ἀνήρ, εἶτ’ οὐ καταγέλαστος εἶ.

1025 Κεἴ με μὴ ’λύπεις, ἐγώ σου κἂν τόδε τὸ θηρίον τοὐπὶ τὠφθαλμῷ λαβοῦς’ ἐξεῖλον ἄν, ὃ νῦν ἔνι.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

1025 Τοῦτ’ ἄρ’ ἦν με τοὐπιτρῖβον. Δακτύλιος οὑτοσί· ἐκσκάλευσον αὐτό, κᾆτα δεῖξον ἀφελοῦσά μοι· ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι δάκνει.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

1030 Ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς ἀνήρ. Ἦ μέγ’, ὦ Ζεῦ, χρῆμ’ ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι. Οὐχ ὁρᾷς; Οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

1030 Νὴ Δί’ ὤνησάς γέ μ’, ὡς πάλαι γέ μ’ ἐφρεωρύχει, ὥστ’ ἐπειδὴ ’ξηρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

1035 Ἀλλ’ ἀποψήσω ς’ ἐγώ, καίτοι πάνυ πονηρὸς εἶ, καὶ φιλήσω.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

1036 Μὴ φιλήσῃς.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ**

1036 Ἤν τε βούλῃ γ’ ἤν τε μή.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ**

1036 Ἀλλὰ μὴ ὥρας ἵκοισθ’· ὡς ἐστὲ θωπικαὶ φύσει, κἄστ’ ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον, οὔτε σὺν πανωλέθροισιν οὔτ’ ἄνευ πανωλέθρων.

1040 Ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τὸ λοιπὸν οὐκέτι οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ’ ὑφ’ ὑμῶν πείσομαι. Ἀλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα.

**ΧΟΡΟΣ**

1042 Οὐ παρασκευαζόμεσθα τῶν πολιτῶν οὐδέν’, ὦνδρες,

1045 φλαῦρον εἰπεῖν οὐδὲ ἕν,

1046–1047 ἀλλὰ πολὺ τοὔμπαλιν πάντ’ ἀγαθὰ καὶ λέγειν καὶ

1048 δρᾶν· ἱκανὰ γὰρ τὰ κακὰ καὶ τὰ παρακείμενα. Ἀλλ’ ἐπαγγελλέτω πᾶς ἀνὴρ καὶ γυνή,

1048 εἴ τις ἀργυρίδιον δεῖται λαβεῖν, μνᾶς ἢ δύ’ ἢ τρεῖς· ὡς ἔσω ’στὶν κἄχομεν βαλλάντια. Κἄν ποτ’ εἰρήνη φανῇ,

1055 ὅστις ἂν νυνὶ δανείσηται παρ’ ἡμῶν, ἢν λάβῃ μηκέτ’ ἀποδῷ.

1057 Ἑστιᾶν δὲ μέλλομεν ξένους τινὰς Καρυστίους, ἄν-

1060 δρας καλούς τε κἀγαθούς. Κἄστιν ἔτνος τι· καὶ δελφάκιον ἦν τί μοι, καὶ

1062–1064 τοῦτο τέθυχ’, ὥστε γεύσεσθ’ ἁπαλὰ καὶ καλά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἥκετ’ οὖν εἰς ἐμοῦ τήμερον· πρῲ δὲ χρὴ τοῦτο δρᾶν λελουμένους αὐτούς τε καὶ τὰ παιδί’, εἶτ’ εἴ-
σω βαδίζειν, μηδ’ ἐρέσθαι μηδένα, ἀλλὰ χωρεῖν ἄντικρυς
ὥσπερ οἴκαδ’ εἰς ἑαυτῶν
γεννικῶς, ὡς ἡ θύρα κεκλείσεται.
Καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλκοντες ὑπήνας χωροῦς’, ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες. Ἄνδρες Λάκωνες, πρῶτα μέν μοι χαίρετε,
εἶτ’ εἴπαθ’ ἡμῖν πῶς ἔχοντες ἥκετε.

**ΛΑΚΩΝ**

Τί δεῖ ποθ’ ὑμὲ πολλὰ μυσίδδην ἔπη; Ὁρῆν γὰρ ἔξεσθ’ ὡς ἔχοντες ἵκομες.

**ΧΟΡΟΣ**

Βαβαί· νενεύρωται μὲν ἥδε συμφορὰ δεινῶς τεθερμῶσθαί τε χεῖρον φαίνεται.

**ΛΑΜΠΙΤΩ**

Ἄφατα. Τί κα λέγοι τις; Ἀλλ’ ὅπα σέλει παντᾶ τις ἐλσὼν ἁμὶν εἰράναν σέτω.

**ΧΟΡΟΣ**

Καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων θαἰμάτι’ ἀποστέλλοντας· ὥστε φαίνεται
ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.

**ΠΡΥΤΑΝΙΣ**

Τίς ἂν φράσειε ποῦ ’στιν ἡ Λυσιστράτη; Ὡς ἄνδρες ἡμεῖς οὑτοιὶ τοιουτοί.

**ΧΟΡΟΣ**

Χαὔτη ξυνᾴδει θἀτέρᾳ ταύτῃ νόσος. Ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;

**ΠΡΥΤΑΝΙΣ**

Μὰ Δί’ ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα. Ὥστ’ εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ, οὐκ ἔσθ’ ὅπως οὐ Κλεισθένη βινήσομεν.

**ΧΟΡΟΣ**

Εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ’, ὅπως τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.

**ΠΡΥΤΑΝΙΣ**

Νὴ τὸν Δί’ εὖ μέντοι λέγεις.

**ΛΑΜΠΙΤΩ**

Ναὶ τὼ σιὼ παντᾶ γα. Φέρε τὸ ἔσθος ἀμβαλώμεθα.

**ΠΡΥΤΑΝΙΣ**

Ὦ χαίρεθ’, οἱ Λάκωνες· αἰσχρά γ’ ἐπάθομεν.

**ΛΑΜΠΙΤΩ**

Ὦ πολυχαρείδα, δεινά γ’ αὖ πεπόνθαμες, αἴκ εἶδον ἁμὲ τὤνδρες ἀμπεφλασμένως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΡΥΤΑΝΙΣ**

1095 Ἄγε δή, Λάκωνες, αὖθ' ἕκαστα χρὴ λέγειν. Ἐπὶ τί πάρεστε δεῦρο;

**ΛΑΜΠΙΤΩ**

1101 Περὶ διαλλαγᾶν πρέσβης.

**ΠΡΥΤΑΝΙΣ**

1102 Καλῶς δὴ λέγετε· χἠμεῖς τουτογί. Τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,

1102 ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;

**ΛΑΜΠΙΤΩ**

1105 Ναὶ τὼ σιώ, καἰ λῆτε, τὸν Λυἵστρατον.

**ΠΡΥΤΑΝΙΣ**

1105 Ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν· αὐτὴ γάρ, ὡς ἤκουσεν, ἥδ' ἐξέρχεται.

**ΧΟΡΟΣ**

1107 Χαῖρ', ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δὴ νυνί σε γενέσθαι δεινὴν μαλακήν, ἀγαθὴν φαύλην, σεμνὴν ἀγανήν, πολύπειρον·

1110 ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι συνεχώρησάν σοι καὶ κοινῇ τἀγκλήματα πάντ' ἐπέτρεψαν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

1111 Ἀλλ' οὐχὶ χαλεπὸν τοὔργον, εἰ λάβοι γέ τις ὀργῶντας ἀλλήλων τε μὴ 'κπειρωμένους. Τάχα δ' εἴσομαι 'γώ. Ποῦ 'στιν ἡ Διαλλαγή;

1115 Πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς, καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ' αὐθαδικῇ, μηδ' ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ' ἔδρων, ἀλλ' ὡς γυναῖκας εἰκός, οἰκείως πάνυ. Ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.

1120 Ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε· οὗ δ' ἂν διδῶσι, πρόσαγε τούτου λαβομένη. Ἄνδρες Λάκωνες, στῆτε παρ' ἐμὲ πλησίον, ἐνθένδε δ' ὑμεῖς, καὶ λόγων ἀκούσατε. Ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι.

1125 Αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω, τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς. Λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι κοινῇ δικαίως, οἳ μιᾶς ἐκ χέρνιβος

1130 βωμοὺς περιρραίνοντες ὥσπερ ξυγγενεῖς Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ—πόσους εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι; — ἐχθρῶν παρόντων βαρβάρῳ στρατεύματι Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.

1135 Εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.

**ΠΡΥΤΑΝΙΣ**

1135 Ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.

**ΛΥΣΙΣΤΡΑΤΗ**

1135 Εἶτ', ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι, οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο

1140

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι στρατιὰν προσαιτῶν; Ἡ δὲ Μεσσήνη τότε ὑμῖν ἐπέκειτο χὠ θεὸς σείων ἅμα. Ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.

Ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο δῃοῦτε χώραν, ἧς ὑπ᾽ εὖ πεπόνθατε;

**ΠΡΥΤΑΝΙΣ**

Ἀδικοῦσιν οὗτοι νὴ Δί᾽, ὦ Λυσιστράτη.

**ΛΑΜΠΙΤΩ**

Ἀδικίομες· ἀλλ᾽ ὁ πρωκτὸς ἄφατον ὡς καλός.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ὑμᾶς δ᾽ ἀφήσειν τοὺς Ἀθηναίους μ᾽ οἴει;

Οὐκ ἴσθ᾽ ὅθ᾽ ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ κατωνάκας φοροῦντας ἐλθόντες δορὶ πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν, πολλοὺς δ᾽ ἑταίρους Ἱππίου καὶ ξυμμάχους, καὶ ξυμμαχοῦντες τῇ τόθ᾽ ἡμέρᾳ μόνοι

ἠλευθέρωσαν κἀντὶ τῆς κατωνάκης τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπέσχον πάλιν;

**ΛΑΜΠΙΤΩ**

Οὔπα γυναῖκ᾽ ὄπωπα χαἰωτέραν.

**ΠΡΥΤΑΝΙΣ**

Ἐγὼ δὲ κύσθον γ᾽ οὐδέπω καλλίονα.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Τί δῆθ᾽ ὑπηργμένων γε πολλῶν κἀγαθῶν

μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας; Τί δ᾽ οὐ διηλλάγητε; Φέρε, τί τοὐμποδών,

**ΛΑΜΠΙΤΩ**

Ἁμές γα λῶμες, αἴ τις ἁμὶν τὤγκυκλον λῇ τοῦτ᾽ ἀποδόμεν.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ποῖον, ὦ τᾶν;

**ΛΑΜΠΙΤΩ**

Τὰν Πύλον, τᾶσπερ πάλαι δεόμεθα καὶ βλιμάδδομες.

**ΠΡΥΤΑΝΙΣ**

Μὰ τὸν Ποσειδῶ τοῦτο μέν γ᾽ οὐ δράσετε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἄφετ᾽, ὦγάθ᾽, αὐτοῖς.

**ΠΡΥΤΑΝΙΣ**

Κᾆτα τίνα κινήσομεν;

**ΛΥΣΙΣΤΡΑΤΗ**

Ἕτερόν γ᾽ ἀπαιτεῖτ᾽ ἀντὶ τούτου χωρίον.

**ΠΡΥΤΑΝΙΣ**

1166 Τὸ δεῖνα τοίνυν, παράδοθ’ ἡμῖν τουτονὶ πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ
1170 κόλπον τὸν ὄπισθεν καὶ τὰ Μεγαρικὰ σκέλη.

**ΛΑΜΠΙΤΩ**

1170 Οὐ τὼ σιώ, οὐκὶ πάντα γ’, ὦ λισσάνιε.

**ΛΥΣΙΣΤΡΑΤΗ**

1170 Ἐᾶτε, μηδὲν διαφέρου περὶ σκελοῖν.

**ΠΡΥΤΑΝΙΣ**

1170 Ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.

**ΛΑΜΠΙΤΩ**

1170 Ἐγὼν δὲ κοπραγωγῆν γα πρῴ ναὶ τὼ σιώ.

**ΛΥΣΙΣΤΡΑΤΗ**

1175 Ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε. Ἀλλ’ εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε καὶ τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.

**ΠΡΥΤΑΝΙΣ**

1175 Ποίοισιν, ὦ τᾶν, ξυμμάχοις; Ἐστύκαμεν. Οὐ ταὐτὰ δόξει τοῖσι συμμάχοισι νῷν,
1180 βινεῖν, ἅπασιν;

**ΛΑΜΠΙΤΩ**

1180 Τοῖσι γῶν ναὶ τὼ σιὼ ἁμοῖσι.

**ΠΡΥΤΑΝΙΣ**

1181 Καὶ γὰρ ναὶ μὰ Δία Καρυστίοις.

**ΛΥΣΙΣΤΡΑΤΗ**

1181 Καλῶς λέγετε. Νῦν οὖν ὅπως ἁγνεύσετε, ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
1185 Ὅρκους δ’ ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε. Κἄπειτα τὴν αὑτοῦ γυναῖχ’ ὑμῶν λαβὼν ἄπεις’ ἕκαστος.

**ΠΡΥΤΑΝΙΣ**

1187 Ἀλλ’ ἴωμεν ὡς τάχος.

**ΛΑΜΠΙΤΩ**

1187 Ἄγ’ ὅπα τυ λῇς.

**ΠΡΥΤΑΝΙΣ**

1188 Νὴ τὸν Δί’ ὡς τάχιστ’ ἄγε.

**ΧΟΡΟΣ**

1188 Στρωμάτων δὲ ποικίλων καὶ
1190 χλανιδίων καὶ ξυστίδων καὶ χρυσίων, ὅσ’ ἐστί μοι, οὐ φθόνος ἔνεστί μοι πᾶσι παρέχειν φέρειν τοῖς παισίν, ὁπόταν τε θυγάτηρ τινὶ κανηφορῇ. Πᾶσιν ὑμῖν λέγω λαμβάνειν τῶν ἐμῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1195 χρημάτων νῦν ἔνδοθεν, καὶ μηδὲν οὕτως εὖ σεσημάνθαι τὸ μὴ οὐχὶ τοὺς ῥύπους ἀνασπάσαι,

1195 χἄττ’ ἂν ἔνδον ᾖ φορεῖν.

1195 Ὄψεται δ’ οὐδὲν σκοπῶν, εἰ μή τις ὑμῶν ὀξύτερον ἐμοῦ βλέπει.

1202 Εἰ δέ τῳ μὴ σῖτος ὑμῶν ἐστι, βόσκει δ’ οἰκέτας καὶ

1205 σμικρὰ πολλὰ παιδία, ἔστι παρ’ ἐμοῦ λαβεῖν πυρίδια λεπτὰ μέν, ὁ δ’ ἄρτος ἀπὸ χοίνικος ἰδεῖν μάλα νεανίας. Ὅστις οὖν βούλεται τῶν πενήτων ἴτω εἰς ἐμοῦ σάκους ἔχων καὶ

1210 κωρύκους· ὡς λήψεται πυρούς. Ὁ Μανῆς δ’ οὑμὸς αὐτοῖς ἐμβαλεῖ. Πρός γε μέντοι τὴν θύραν προαγορεύω μὴ βαδίζειν

1214 τὴν ἐμήν, ἀλλ’

1215 εὐλαβεῖσθαι τὴν κύνα.

**ΠΡΥΤΑΝΙΣ**

1215 Ἄνοιγε τὴν θύραν σύ. Παραχωρεῖν ς’ ἔδει. Ὑμεῖς, τί κάθησθε; Μῶν ἐγὼ τῇ λαμπάδι ὑμᾶς κατακαύσω; Φορτικὸν τὸ χωρίον. Οὐκ ἂν ποήσαιμ’. Εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,

1220 ὑμῖν χαρίζεσθαι ταλαιπωρήσομεν.

**ΑΘΗΝΑΙΟΣ**

1221 Χἠμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.

**ΠΡΥΤΑΝΙΣ**

1221 Οὐκ ἄπιτε; Κωκύσεσθε τὰς τρίχας μακρά.

1221 Οὐκ ἄπιθ’, ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν καθ’ ἡσυχίαν ἀπίωσιν εὐωχημένοι;

**ΑΘΗΝΑΙΟΣ**

1225 Οὔπω τοιοῦτον συμπόσιον ὄπωπ’ ἐγώ. Ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί· ἡμεῖς δ’ ἐν οἴνῳ συμπόται σοφώτατοι.

**ΠΡΥΤΑΝΙΣ**

1225 Ὀρθῶς γ’, ὁτιὴ νήφοντες οὐχ ὑγιαίνομεν. Ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,

1230 μεθυόντες ἀεὶ πανταχοῖ πρεσβεύσομεν. Νῦν μὲν γὰρ ὅταν ἔλθωμεν εἰς Λακεδαίμονα νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν· ὥσθ’ ὅ τι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν, ἃ δ’ οὐ λέγουσι, ταῦθ’ ὑπονενοήκαμεν,

1235 ἀγγέλλομεν δ’ οὐ ταὐτὰ τῶν αὐτῶν πέρι. Νυνὶ δ’ ἅπαντ’ ἤρεσκεν· ὥστ’ εἰ μέν γέ τις ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον, ἐπῃνέσαμεν ἂν καὶ πρὸς ἐπιωρκήσαμεν. Ἀλλ’ οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν

1240 εἰς ταὐτόν. Οὐκ ἐρρήσετ’, ὦ μαστιγίαι;

**ΑΘΗΝΑΙΟΣ**

1240 Νὴ τὸν Δί’· ὡς ἤδη γε χωροῦς’ ἔνδοθεν.

**ΛΑΜΠΙΤΩ**

1240 Ὦ πολυχαρείδα, λαβὲ τὰ φυάτήρια, ἵν’ ἐγὼν διποδιάξω τε κἀείὼ καλὸν ἐς τὼς Ἀσαναίως τε χἄμ’ ἄεισμ’ ἁμᾶ.

**ΠΡΥΤΑΝΙΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1245 Λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν· ὡς ἥδομαί γ’ ὑμᾶς ὁρῶν ὀρχουμένους.

**ΛΑΜΠΙΤΩ**

1247–1248 Ὅρμαόν τῷ κυρσανίῳ, Μναμόνα,
1249 τὰν τεὰν Μῶἁν, ἅτις
1249 οἶδεν ἁμὲ τώς τ’ Ἀσαναίως, ὅκα τοὶ μὲν ἐπ’ Ἀρταμιτίῳ πρώκροον συείκελοι ποττὰ κᾶλα τὼς Μήδως τ’ ἐνίκων· ἁμὲ δ’ αὖ Λεωνίδας
1255 ἆγεν ἇπερ τὼς κάπρως σάγοντας, οἰῶ, τὸν ὀδόντα· πολὺς δ’ ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσεεν, πο-
1258–1259 λὺς δ’ ἁμᾶ καττῶν σκελῶν ἵετο.
1260 Ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως τᾶς ψάμμας τοὶ Πέρσαι.
1262–1263 Ἀγροτέρα σηροκτόνε, μόλε δεῦρο, παρσένε σιά,
1264 ποττὰς σπονδάς,
1265 ὡς συνέχῃς πολὺν ἁμὲ χρόνον. Νῦν δ’
1266–1267 αὖ φιλία τ’ ἀὲς εὔπορος εἴη
1268–1269 ταῖσι συνθήκαισι, καὶ τᾶν αἱμυλᾶν ἀ-
1270 λωπέκων παυαΐμεθα. Ὤ, δεῦρ’ ἴθι, δεῦρο,
1270 ὦ κυναγὲ παρσένε.

**ΠΡΥΤΑΝΙΣ**

1270 Ἄγε νυν ἐπειδὴ τἄλλα πεπόηται καλῶς, ἀπάγεσθε ταύτας, ὦ Λάκωνες, τασδεδὶ
1275 ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ στήτω παρ’ ἄνδρα, κᾆτ’ ἐπ’ ἀγαθαῖς ξυμφοραῖς ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα τὸ λοιπὸν αὖθις μὴ ’ξαμαρτάνειν ἔτι.

**ΧΟΡΟΣ**

1278 Πρόσαγε χορόν, ἔπαγε χάριτας,
1280 ἐπὶ δὲ κάλεσον Ἄρτεμιν, ἐπὶ δὲ δίδυμον ἀγέχορον Ἰήιον
1282–1283 εὔφρον’, ἐπὶ δὲ Νύσιον,
1284 ὃς μετὰ μαινάσιν ὄμμασι δαίεται,
1285 Δία τε πυρὶ φλεγόμενον, ἐπὶ δὲ πότνιαν ἄλοχον ὀλβίαν· εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι χρησόμεθ’ οὐκ ἐπιλήσμοσιν ἡσυχίας πέρι τῆς ἀγανόφρονος,
1290 ἣν ἐπόησε θεὰ Κύπρις. Ἀλαλαί, ἰὴ παιών. Αἴρεσθ’ ἄνω, ἰαί, ὡς ἐπὶ νίκῃ, ἰαί. Εὐοῖ, εὐοῖ, εὐαῖ, εὐαῖ.

**ΠΡΥΤΑΝΙΣ**

1295 Λάκων, πρόφαινε δὴ σὺ μοῦσαν ἔτι νέαν.

**ΛΑΜΠΙΤΩ**

1295 Ταΰγετον αὖτ’ ἐραννὸν ἐκλιπῶἁ,
1297–1298 Μῶἁ μόλε, μόλε, Λάκαινα, πρεπτὸν ἁμὶν
1299 κλέωἁ τὸν Ἀμύκλαις σιὸν
1299 καὶ Χαλκίοικον ἄνασσαν, Τυνδαρίδας τ’ ἀγασώς, τοὶ δὴ πὰρ Εὐρώταν ψιάδδοντι. Εἶα μάλ’ ἔμβη, ὢ εἶα κοῦφα πᾶλον,
1305

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς Σπάρταν ὑμνίωμες, τᾷ σιῶν χοροὶ μέλοντι καὶ ποδῶν κτύπος, ὅχ’ ἇτε πῶλοι ταὶ κόραι πὰρ τὸν Εὐρώταν
ἀμπαδίοντι, πυκνὰ ποδοῖν ἀγκονίωαί, ταὶ δὲ κόμαι σείονται ἇπερ Βακχᾶν θυρσαδδωᾶν καὶ παιδδωᾶν. Ἁγῆται δ’ ἁ Λήδας παῖς
ἁγνὰ χοραγὸς εὐπρεπής.
Ἀλλ’ ἄγε, κόμαν παραμπύκιδδε χερὶ ποδοῖν τε πάδη
ἇ τις ἔλαφος, κρότον δ’ ἁμᾶ ποίη χορωφελήταν,
καὶ τὰν κρατίσταν παμμάχον, τὰν Χαλκίοικον ὕμνη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org